χεσθαι [32] μέχρι τοῦ ἐκτεῖσαι, μ[ὴ] [33] ἀναμίναντας τὸν μεμερισ[34]μένον αὐ-
τοῖς χρόνον, τὸ [35] ὅλον κεφάλαιον ἢ τὸ ἐν̣ ὀ̣φ̣ι̣λ̣ῇ [36] θησόμενον σὺν ἡμιολίᾳ,
[37] τοῦ δὲ ὑπερπεσόντος χρόν[ου] [38] τοὺς κατὰ τὸ διάγραμμα [39] τόκους δι-
δράχμους τῆς [40] πράξεως γινομένης τῷ [41] Γαίῳ Ἰουλίῳ Φιλίῳ ἔκ τε τῶν
[42] τριῶν ἀλληλενγύων ὄντων [43] εἰς ἔκτισιν καὶ ἐξ ἑνὸς κα[ὶ] [44] ἐξ οὗ ἐὰν
αὐτῶν αἱρῆ[ται] [45] καὶ ἐκ τῶν ὑπαρχόντων [46] αὐτοῖς πάντων καθάπ[ερ]
[47] ἐγ δίκης, ἔτι δὲ καὶ ἐκ το[ῦ] [48] ὑπάρχοντος τῷ Λυκαρίω[49]νι ἐργαστηρίου
ξυλοπο[50]⟪ο⟫ιοῦ τοῦ ὄντος πρὸς τῷ Σ̣υ̣[51]ρίῳ ἐν τῇ Δωρίωνος κτή[52]σι
καὶ μέχρι τοῦ δίκαια π̣ρ̣ο̣-

Reste von 4 unleserlichen Zeilen.

Col. II.

[1] Κόλ(λημα). [2] περὶ αὐτὸ γενέσθαι, εἶναι καὶ [3] οὕτως τὸ δάνηον ἀκίν-
δυνον παν[4]τὸς κινδύνου, καὶ μὴ καταφεύ̣[5]ξεσθαι ἐπὶ πίστης μηδὲ ἐ̣φ'
[6] [ἱ]ερὸν μερον μηδὲ ἐφ' ἱκετικὸ[ν] [7] ἀξίωμα μηδὲ ἐπὶ πρόσταγμ[α] [8] φιλ-
ανθρώπων ἢ ⟨εὐ⟩εργασίας μη[9]δὲ ἐπ' ἄσυλον τόπον μηδὲ ἐπὶ [10] λαικὴν
βοήθιαν μήδ' ἐπ' ἄλ[11]λην μηδεμίαν ἁπλῶς σκέπ̣η̣ν̣, [12] ἢ οἷς ἐὰν προσχρή-
σωνται, ἔστω[13]σαν ἄκυρα. Καὶ ὁ δὲ Γάιος Ἰούλι[14]ος Φίλιος συγχω-
(2te H.) ἀ̣κ̣υ̣ρ̣ώ̣σ̣ε̣ι̣ν̣
ρεῖ ἃς ἀνε[15]νήνεχαν εἰς αὐτὸν οἱ αὐτοὶ [16] ὑπόχρεοι διὰ τοῦ αὐτοῦ κριτη-
[17] ρίου δανή⟦ου⟧ (ων) συνχωρήσεις δύ[18]ο ἀνὰ ἀργ(υρίου) (δραχμὰς) ρκ διὰ τὸ
ἐκπεπλ[η][19]ρῶσθαι αὐτὸν ὑπ' αὐτῶν ταῖς [20] ἐπὶ τὸ αὐτὸ τοῦ ἀργυρίου
(δραχμὰς) ϛ̅μ̣ [21] διὰ χιρὸς καὶ μὴ ἐπελεύσεσ[22]θαι ἐπ' αὐτοὺς περὶ τούτων
[23] πλὴν ἢ⟪ν⟫ περὶ τῶν κατὰ τήν[24]δε τὴν συγχώρησιν δραχμῶν [25] τριακο-
σίων. [26] (2te H.) (Ἔτους) ιξ Καίσαρος Φαρμο(ῦθι) ξ̄.

33 l. μὴ ἀναμείναντας. Gemeint ist die Klausel des Terminsverlustes.

35 τὸ ἐν ὀφιλῇ θησόμενον: die (etwaige) Restschuld.

52 Hinter προ | in l. 53 vielleicht | θεῖναι, παρέξασθαι; so Schubart zu BGU 1147, 27.

II 5 l. πίστεις.

6 Die Bedeutung von μερον unbekannt.

8 Pap. ἐργασίας. Gemeint ist εὐεργεσίας; πρόσταγμα φιλ. ἢ εὐεργ. ist ein Indulgenzdekret.

10 λαικὴ βοήθεια, Hilfe aus dem Volke, erinnert an Flor 61 II 61, wo der Statthalter sagt 'χαρίζομαί δέ σε τοῖς ὄχλοις', und an die Begnadigung des Barnabas auf Wunsch des Volkes (Ev. Marc. 15, 15).

15 l. ἀνενήνοχαν.

18 ἀνά hat distributive Bedeutung.

106. Vertrag über Ratenzahlung eines Kaufpreises mit ἀγώγιμος-Klausel. — 19 v. C. — Alexandrien. (Vgl. S. 46.)

BGU 1146 ed. Schubart.

[1] Ἀχαιῶι τ[ῶι ἐ]πὶ τοῦ ἐν τῇ αὐλῇ κριτηρίου [2] παρὰ Σπώσου τοῦ Λύππου καὶ παρὰ Ἀραβίωνος τοῦ Διδύμου καὶ Διονυσοδώρο[υ] [3] τοῦ Ἡρακλείδου καὶ Ἀπολλωνίου τοῦ Εἰρηναίου καὶ Ἡρακλείδου τοῦ Ἀπολλωνίου [4] καὶ Σαραπίωνος τοῦ Δωρίωνος καὶ Ἡρακλείδου τοῦ Ἑρμονείκου καὶ Ἀ[. . . . . τοῦ] [5] Σωτηρίχου καὶ Ἀμμωνίου τοῦ Ἑρμίου τῶν ὀκτὼι Περσῶν τῆς ἐπ[ιγονῆς. Πε][6]ρὶ τῆς ἑσταμένης τελησθῆναι ἀσφαλείας συνχωροῦσιν οἱ περὶ τὸν Ἀρ[α][7]βίωνα ἀποδώσ[ειν] τῷ Σπ[ώ]σ̣ω[ι] ἣν ὀφείλουσιν αὐτῷ τει[μ]ὴ̣ν̣ [8] ἧς ἐώνηνται παρ' αὐ[τοῦ] β̣υ̣β̣[. . . . . . .] ἀρ[γυρίου Π]τολ[ε]μ[αι]κοῦ τ̣ά̣λ̣α̣ν̣τ̣ο̣ν̣ [9] ἓν καὶ δραχμὰς τρισχειλίας ἑξα[κοσίας ὀγδοήκο]ντα ἀτ̣ό̣κ̣[ους ἐν δόσεσιν] [10] ἰσομερέσι [τέσσαρσι] διδόντες Ἀ[θὺρ μὲν πέν]πτηι το[ῦ ἐνεστῶτος δω][11]δεκάτου [ἔ]τους τὰς τοῦ ἀργυρίου δραχ[μ]ὰς [δισχει]λίας τετρακοσίας εἴκοσ[ι], [12] Τῦβι πένπτῃ ὁμοίως δραχμὰς δισχειλίας τετρακοσίας εἴκοσι, Μεχ[13]χεὶρ ὡ[σ]αύτως πένπτῃ δισχειλίας τετρακοσίας εἴκοσι, τὰς δὲ λοιπὰ[ς] [14] [τοῦ ὅ]λου κεφαλαίου Φαμενὼθ πένπτῃ τοῦ αὐτοῦ δωδεκάτου ἔτους [15] [δραχμ]ὰς δισχειλίας τετρακοσίας εἴκοσι οὐδεμίαν δόσιν κοιλὴν [16] [ποιούμ]ενοι, ταῦτα δὲ ποιήσειν ἄνευ κρίσεως καὶ πάσης ἀντιλογίας, [17] [ε]ἰ̣ δ̣ὲ̣ μ̣ή, εἶναι αὐτοὺς ἀγωγίμους ἢ τὸν ἐσόμενον αὐτῶν ἐνφανῆ [18] [καὶ συν]έχεσθαι μέχρι τοῦ ἐκτῖσαι ἐφ' ἧς ἐὰν δόσεως κοιλάνωσι παρα[19][χρῆμα] τὸ προκείμενον τὸ τοῦ ἀργυρίου τάλαντον ἓν τρισ[20][χειλίας] ἑξακοσίας ὀγδοήκοντα ἢ τὸ ἐνοφιληθησόμενον σὺν ἡμιολ(ί̣α̣) [21] [τοῦ δὲ ὑ]περπεσόντος χρόνου τοὺς κατὰ τὸ διάγραμμα τόκου[ς] δ̣ι̣δ̣(ράχμους) [22] [τῆς πράξεω]ς γεινομένης τῶι Σπώσ[ω]ι ἔκ τε αὐτῶν τῶν σ̣α̣. . . . ν [23] [ἀλληλεγγ]ύων ὄντων εἰς ἔκτισιν καὶ ἐξ ἑνὸς καὶ ἐξ οὗ ἐὰν αὐτῶν αἱρῆται [24] [καὶ ἐκ τῶν] ὑπαρχόντων αὐτοῖς πάντων καθάπερ ἐκ δίκης ἀ[25][κύρων] οὐσῶν καὶ ὧν ἐὰν ἐπενένκωσι πίστεων πασῶν σκέπης [26] [πάσ]ης. Ἀξιοῦ(μεν). [27] (Ἔτους) ιβ Καίσαρος Φαῶφι κβ.

2 Σπῶσος = Sponsus? Schub. 8 l. βυβ[λιοθήκης]? Schub.

107. Verpachtung einer Bäckerei mit ἀγώγιμος-Klausel. — 13 v. C. — Alexandrien. (Vgl. S. 46.)

BGU 1117 ed. Schubart.

[1] [Πρωτ]άρ̣[χ]ῳ̣ι̣ [2] [πα]ρὰ Ε̣ἰ̣[ρη]ν[αί]ου τοῦ Σώτου καὶ παρὰ Ἀ̣ρ̣τ̣ε̣μ̣ι̣δ̣[ώρου] [3] [το]ῦ Δ̣ι̣δ̣ύ̣μ̣ο̣υ̣ Πέρσου τῆς ἐπιγονῆς καὶ τῆς τούτου [4] [γυ]ναικὸς Ἑρμιόνης τῆς Χαιρήμονος Περσ̣ε̣ί̣νης μ[ε]τὰ [5] [κυ]ρίου τοῦ ἀνδρός. Συνχωροῦσιν Ἀρτεμίδωρος κα[ὶ] Ἑρ[6][μι]όνη ⟦ἐπὶ⟧ μεμισθῶσθαι παρὰ τοῦ Εἰρηνάου ἐπὶ χρόνο[ν] μῆνα[ς] δέκα ἓξ ἀπὸ Παχὼν τοῦ ἐνεστῶτος [7] [ἑπ]τακαιδεκάτου (ἔτους) Καίσαρος τὸ ὑπάρχον αὐτῷ ἐ̣[ργ]α̣[8][στή]ρ̣ιον κλιβάνι̣ο̣ν̣ ἐν τῷ Βῆτα ἐν τῇ Εὐδαίμον[ο]ς [9] [λε]γο-

8 Zu Βῆτα (ein Stadtteil von Alexandrien) vgl. Schubart, Arch. 5, 37. 59.

τοῦ Ῥ [. . .] . ρες

μένῃ ῥύμῃ πλησίον ⟦τοῦ⟧υαμῶνος ἐκ τῆς Με 10 [. .] . τος κτήσεως σὺν τοῖς ἐν αὐτῷ κλιβάν[οις δυ] 11 [σί]ν τε καὶ κλιβανικοῖς σκεύεσσιν καὶ τηλ[ία] θ[. .] 12 [. .]ς φόρου τοῦ ἐσταμένου καθ' ἡμέραν ἑκάστ[ην] 13 [ὀβ]ολῶν δύο,

Εἰρηνάῳ

οὓς καὶ τελέσι τῷ ⟦Ἑρμιόνῃ⟧ τὴν ἡμ[έ] 14 [ρα]ν ἐν τῇ ἡμέρᾳ ἀνυπόλογον παντὸς ὑπολόγου 15 [κ]αὶ ἀνηλώματος τῶν ἐπισκευῶν τοῦ ἐργαστηρίου 16 [κ]αὶ δ . . . φων ἀντενβόλων καὶ ὠλενῶν στεγνώσεω[ν] 17 [ἔ]τι δ[ὲ] καὶ τὸ

. . . . . .

ὑπὲρ τοῦ ἐργαστηρίου διδόμεν[ον] 18 [ἐ]νοίκιον καὶ τὰ ὑπὲρ τῆς ἐργασίας

ὄντων πρὸς

πάντα τού[ς] 19 μεμισθωμένους Ἀρτεμίδωρον καὶ Ἑρμιόνην, 20 [ο]ὓς καὶ ἀπὸ τοῦ νῦν ἀντέχεσθαι τῆς μισθώσεως 21 [κ]αὶ τὰ περιγινόμενα ἀποφέρεσθαι εἰς τὸ ἴδ[ι]ον μὴ 22 [ἐ]ξόντος αὐτοῖς ἐγλ[ι]πεῖν τὴν μίσθωσιν ἐντὸς τοῦ 23 [χ]ρόνου μηδὲ ἀπὸ τοῦ νῦν εἰς τὸν ἀεὶ χρόνον ἀντι[. . .] . 24 [. .]ι ἕτερον ἐργαστήριον τῷ κλιβανήῳ ἐντὸ[ς πλ]έ 25 [θρ]ων κυκλόθεν πέντε, τοῦ δὲ χρόνου διελθόντο[ς] παρα 26 [δ]ώσειν τὸ ἐργαστήριον καθαρὸν ἀπό τε σί[τ]ου κα[ὶ] 27 [τῆ]ς ἄλλης ἀκαθαρσίας σὺν τοῖς κατ' αὐτὸ [σ]κεύεσ[ι] 28 καὶ κλειβάνοις οἷα ἐὰν ἔτι ᾖ ἐκ τῆς χρήσε[ω]ς, ἔτι δ[ὲ] 29 [κα]ὶ ἀπὸ ἐνοικίων καὶ τελῶν ὁμοίως καθαρό[ν], ἐ[ὰ]ν δ[έ] 30 [τι] τούτ[ω]ν παραβαίνωσιν, εἶναι αὐτοὺς π[αρ]αχρ[ῆ]μα 31 [ἀγ]ωγίμ[ο]υς καὶ συνέχεσθαι μέχρι τοῦ ἐ[ξ]ουδενῆ 32 [σαι] καὶ ἐκτελέσαι καὶ ἐκτεῖσαι τῷ Εἰρηναίωι 33 [ὃ ἐ]ὰν ἐνοφιλήσωσιν πρὸς τὸν ἡμερήσιον φόρο(ν) 34 [σὺν ἡ]μιολίαι [κ]αὶ οὗ ἐὰν μὴ παραδῶσι τὴν ἀξίαν καὶ τὸ 35 [βλάβος] καὶ δαπανήματα καὶ ἐπίτιμον ἀργυ(ρίου) (δραχμὰς) φ κα[ὶ] 36 [τὸ ὡρισμένον] πρόστιμον, τῆς πράξεως γινο 37 [μένης τῷ Εἰρηναίωι] ἔ[κ] τε αὐ[τῶν] ὄντων ἀλληλεγ- 38 [γύων εἰς ἔκτισι]ν κα[ὶ] ἐξ ἑνὸς καὶ ἐξ οὗ ἐὰν [αὐτῶν] 39 [αἱρῆται καὶ ἐκ τ]ῶν ὑπαρχόντων αὐτοῖς πάντων 40 [καθάπερ ἐγ δίκ]ης ἀκύρων οὐσῶν καὶ ὧν ἐὰν ἐπε 41 [νέγκωσι πίστ]εων πασῶν σκέπης πάσης μη 42 [δὲν ἧσσον ἐξουσίας] οὔσης τῷ Εἰρη[ν]αίῳ ἐὰν μὲν πα 43 [ρασυγγράψωσι] μεθιστα[μένῳ

υς

α]ὐτο⟦ῖς⟧ ἐντ[ὸς] 44 [τοῦ χρόνου . . . .

Weitere 11 Zeilen sind in sehr kleinen und verwischten Resten erhalten.

9 *κναμῶνος* scheint ausgeschlossen (Schubart).

18 Konstruktion zu verbinden in: *τοῦ — ἐνοικίου καὶ τῶν ὑπὲρ τῆς ἐργασίας πάντων*.

108. Vertrag mit einer Amme (*συγγραφὴ τροφῖτις*) mit *ἀγώγιμος*-Klausel. — 13 v. C. — Alexandrien.

BGU 1106 ed. Schubart.

Ein Duplikat der Urkunde ist Inv. Nr. 205 des Fundes von Abusir-el-Mäläk; nach diesem ist hier l. 11—16 ergänzt.

1 (1te H.) [*Πρωτάρχω*]*ι τῶι ἐπὶ τοῦ κριτηρίου* 2 (2te H.) [*παρὰ*] *Μάρκου Αἰμιλίου Μάρκου Καλλιδία κ*[*αὶ παρὰ*] 3 *Θ*[*εοδ*]*ότης τῆς Δωσιθέου*

Περσεί[ν]ης με[τὰ κυρίου] [4] κ[αὶ ἐ]γγύου τῶν κατὰ τήνδε τὴν συνχώ[ρησιν] [5] σημαινομένων τοῦ ἀνδρὸς Σώφρονος [τοῦ] [6] [. . . .] . . . άρχου ⟦Σώφρονος⟧ Πέρ[σ]ου τῆ[ς ἐπι][7][γονῆς.] Περὶ τῶν διεσταμένων [συγχωρεῖ ἡ Θεο][8]δότη ἐπὶ χρόνον μῆνας δέκα [ὀκτὼ ἀπὸ Φα][9]μενὼθ τοῦ ἐνεστῶτος ιζ ⟨ἔτους⟩ Καί[σαρος τρο][10][φεύσειν καὶ θηλάσειν ἔξω] παρ' ἑα⟨υ⟩τῇ [κατὰ πόλιν] [11][τῷ ἰδίῳ αὐτῆς γάλακτι καθαρῷ καὶ ἀφθόρῳ] [12][ὃ ἐνκεχείρικεν αὐτῇ ὁ Μᾶρκος ἀναίρετον] [13][δουλικὸν παιδίον ἑαυτοῦ ὑποτίθιον Τύχην] [14][λαμβάνουσα παρ' αὐ]τοῦ κατὰ μ[ῆνα ἕκαστον] [15][μισθὸν τοῦ τε γάλακτος καὶ τῆς τροφήας σὺν] [16][ἐλαίῳ ἀργυρίου (δραχμὰς) η, ἀπέσχηκεν δὲ ἡ Θεο][17][δότη] δι' ἐγγύου [τ]οῦ Σ[ώ]φρονος παρὰ τοῦ Μ[άρκου] [18][διὰ χειρὸς ἐ]ξ οἴκου εἰς τοὺς προκιμένους μῆν[ας δέκα] [19][ὀκτὼ τ]ροφῆα μηνῶν ἐννέα τὰς συναγο[μένας] [20][δραχμὰ]ς ἑβδομήκοντα δύο, καὶ ἐὰν συνβῇ ἐντὸς [τοῦ][21][των] παθῖν τι ἀνθρώπινον τὸ παιδίον, τὴ[ν Θεο][22][δότην ἀ]νελομένην ἕτερον παιδίον τρο[φεύσειν] [23][καὶ θηλ]άσειν καὶ παραστήσειν τῷ Μάρκ[ῳ ἐπὶ] [24][τῶν] ἴσων μηνῶν ἐννέα μηδὲν τὸ καθόλου λα[25][βοῦσ]α διὰ τὸ ἀθάνατον αὐτὴν ἐπιδεδέχθαι τρ[ο][26][φεύσει]ν, εὐτακτουμένην αὐτὴν τοῖς λο[ιποῖς] [27][κατ]ὰ μῆνα τροφήοις ποιεῖσθαι τήν τε ἑα⟨υ⟩τῆς [28][καὶ τοῦ] παιδίου προσήκουσαν ἐπιμέληαν μὴ [29][φθίρουσ]αν τὸ γάλα μηδ' ἀνδροκοιτοῦσαν μηδ' ἐπ[ι][30][κ]ύουσαν μηδ' ἕτερον παραθηλάζουσαν παιδί[31]ον, ἅ τε ἐὰν λάβῃ ἢ πιστευθῇ σῶα συντηρήσιν [32] καὶ ἀποδώσειν ὅταν ἀπαιτῆται ἢ ἐκτίσειν τὴν [33] ἑκάστου ἀξίαν πλὴν συνφανοῦς ἀπωλήας, ἧς καὶ [34] φανερᾶς γενηθείσ[ης ἀ]πολελύσθω, καὶ μὴ ἐγλείπ[ειν] [35] τὴν τρ[ο]φήαν ἐντὸς τοῦ [χ]ρόνου· ἐ[ὰν δ]έ τι παραβαί[36]νῃ, εἶναι αὐτήν τε καὶ τὸν Σώφρον[α ἀ]γωγίμους [37] καὶ συνέχεσθαι μέχρει τοῦ ἐκτε[ῖσ]αι ἅ τε εἴλη[38]φεν τ[ρο]φῆα καὶ ἃ ἐὰν λάβ[ῃ] σὺν ἡμ[ι]ολίᾳ καὶ τὰ [39] βλάβη καὶ δαπανήματα καὶ ἄλλας ἀργυ(ρίου) (δραχμὰς) τ τῆς [40] πράξ[ε]ως γινομένης ἔκ τε ἀμφοτέρων ὄντω[ν] [41] ἀλληλενγύων εἰς ἔκτισιν καὶ ἐξ ἑνὸς καὶ ἐξ οὗ ἐ[ὰν] [42] αὐτῶν αἱρῆται καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς [43] πάντων καθάπερ ἐγ δίκης ἀκύρ[ω]ν οὐσῶν καὶ [44] ὧν ἐ[ὰν ἐ]πενέγκωσιν πίστεων πασ[ῶ]ν σκέπ[ης] [45] πάσης, ἕκαστα δὲ αὐτῆς ἐπιτελούσης καὶ τ[ὸν] [46] [Μᾶρκο]ν Αἰμίλιον χορηγεῖν αὐτῇ τὰ κατὰ μῆ[να] [47] τροφῆα ἐπὶ τοὺς λοιποὺς μῆνας ἐννέα καὶ μὴ [ἀ][48]ποσπάσιν τὸ παιδίον ἐντὸς τοῦ χρόνου ἢ κα[ὶ αὐ][49]τὸν ἐκτίνιν τὸ ἴσον ἐπίτιμον, παραβαλε[ῖ δὲ] [50] ἡ Θεοδότη πρὸς τὸν Μᾶρκον τοῦ μηνὸς . . . . [51] εκουσα καὶ τὸ παιδίον πρὸς τὸ ἐπιθεωρεῖσθαι [52] ὑπ' αὐτοῦ.

Datum fehlt.

[53] Unten in großer, steifer Schrift, der Urkunde entgegengesetzt gerichtet; *ΒΕΒΑΙ*[. . .

1 Ob Protarchos zu ergänzen ist, hängt vom Datum Z. 9 ab; hier ist ιζ kaum von η zu unterscheiden (jedoch spricht 205 mehr für ιζ als für η). Protarchos ist erst vom 16. Jahre an nachweisbar (Schubart).

25 Zu *ἀθάνατον ἐπιδεδέχθαι* vgl. BGU 1058, 25; Straßb. 30, 6.

50 Ende *δίς* oder *τρίς* (Schub.).

51 l. *ἄγουσα* (Schub.).

ANHANG I.

ANZEIGEN AN DEN STRATEGEN ODER CENTURIO MIT BITTE UM EINTRAGUNG IN DEN *ΚΑΤΑΧΩΡΙΣΜΟΣ.*

109. Anzeige wegen Betrugs. — 137 n. C. — Faijûm.

Gen. 28 ed. Nicole. Nachtr. von Wessely, Wochenschr. f. klass. Phil. 1900 Sp. 429 und Wilcken, Arch. 3, 391.
Lit.: Mitteis, Sitz.-Ber. 74.

Der Täter ist von bekannter Person, aber unbekannten Aufenthalts (vgl. S. 33 fg.).

[1] [Οὐεγέτῳ τ]ᾳ̣ κα̣ὶ̣ Σαραπίω[ν]ι [2] [στρατηγῷ] Ἀρσι(νοείτου) Ἡ̣ρ̣α̣κ(λεί-δου) μερίδος [3] παρὰ Στοτοήτιος τοῦ Ὡρίων(ος) [4] καὶ Πανούπιος τοῦ Τεσενούφε(ως) [5] τῶ̣ν̣ ἀπὸ κώμης Σοκνοπαίου [6] Νήσου. Ὡρίων π̣ . . . . . ἐλθὼν [7] εἰς τὴν ἡμετέραν κώμην προ[8]ετρ[έ]ψατο ἡμᾶς ἀνελθεῖν εἰς [τὴν] [9] μ[ητρόπ]ολιν κ[αὶ ἀγ]οράσαι πα[10]ρὰ τοῦ πατρὸς αὐτοῦ Στοτοήτιος [11] ἐπικαλουμένου Μικροῦ [12] πυρόν. Καὶ λαβὼν παρ' ἡ[13]μῶν ἀργυρίου δραχμὰς τρια[14]κοσίας εἰς τὴν [τοῦ] πυροῦ τι[15]μὴν ὡς δῶναι τῷ πατρὶ αὐ[16]τοῦ [ἀ]φανὴς ἐγένετο. Π̣ρ̣οσελ[17]θ̣όντων δὲ ἡμῶν τῷ πα[18][τ]ρὶ αὐτοῦ περὶ τοῦ πυροῦ, καὶ αὐ[19]τὸς ἔξαρνος ἐγένετο μήτε τὸ [20] ἀργύριον εἰληφέναι μήτε εἰδέ[21]ναι ποῦ ἐστιν ὁ υἱὸς αὐτοῦ. Διὸ [22] ἀξιοῦμεν μένειν παρὰ σοὶ [23] ἐν καταχωρισμῷ τὸ ὑπόμνη[24]μα ἄχ[ρ]ι οὗ ὁ Ὡρίων ἐμφανὴς [25] γένη[τα]ι ⟨καὶ⟩ ἀχθῆναι τὸν πατέρα [26] αὐτοῦ πρὸς τὸ παραστῆσαι αὐτὸν [27] ἵν' ὦμεν ὑπὸ σοῦ βεβοηθή(μενοι). [28] Στοτοῆτις (ἐτῶν) κη' ο(ὐλὴ) μήλ(ῳ) ἀρισ(τερῷ) [29] Πανούπιος (ἐτῶν) κς ἄση(μος). [30] (Ἔτους) κβ Αὐτοκράτορος Καίσαρος Τραι(ανοῦ) Ἀδριανοῦ Φαῶφι κδ'.

1 Zum Strategennamen s. Grenf. 2, 45, 2 (Nicole).

6 π[έρυσιν] ἐλθὼν oder π[αρεισ]ελθὼν (Nicole).
15 l. δοῦναι.

110. Anzeige von einem Einbruchsdiebstahl. — 2. Jahrh. n. C. — Tebtynis.

Teb. 2, 330 edd. Grenfell-Hunt.

Die Täter sind unbekannt (vgl. S. 33 fg.).

[1] Βωλα̣ν̣ῷ στρα(τηγῷ) Ἀρσι(νοίτου) Θεμίστ(ου) καὶ Πολ(έμωνος) μ[ε]ρίδ(ων) [2] παρὰ Πτολεμαίου Πάτρωνος ἀπὸ κώ[3]μης [Τ]επτύνεως. Ἐμοῦ ἐν ἀποδημίᾳ [4] ὄντος καὶ παραγενομένου εἰς τὴν κώ[5]μην εὗρον τὴν οἰκίαν μου σεσυλημέ[6]νην τ̣ε̣ καὶ πάντα τὰ ἔνδον ἀποκείμε[7]να βεβασταγμ[έ]να. Ὅθεν οὐ δυνάμ[ε][8]νος ἡσυχάζειν ἐπιδίδωμι καὶ ἀξιῶ [9] ἐν καταχωρισμῷ γενέσθαι τάδε [10] τὰ β[ι]βλίδια πρὸς τὸ φανέντος τινὸς [11] αἰτ[ίο]υ μένιν μοι τὸν λόγ[ο]ν. Διευτύχι.

111. Anzeige von einer Brandstiftung. — 192 n. C. — Faijûm.

BGU 651 ed. Wilcken.
Lit.: Mitteis, Sitz.-Ber. S. 64—65.

Die Täter sind unbekannt (vgl. S. 33 fg.).

[1] (1te H.) *Οὐαλερίῳ Γερμανῷ* (*ἑκατοντάρχῃ*) [2] (2te H.) *παρὰ* [*Σα*]*βείνου Ζωσίμου ἀπὸ τῆς μητ*(*ροπόλεως*) [3] *καταγενομένου ἐν κώμῃ Καρανίδι.* [4] *Νυκτὶ τῇ φερούσῃ εἰς τὴν ιβ ἐνεπρήσ*[5]*θη μου ἅλων περὶ κώμην Πτολεμαΐ*[6]*δα Νέαν ὑπό τινων, οὓς καὶ ἀγνοῶ. Ὅθεν* [7] *ἐπιδίδωμι τάδε τὰ βιβλίδια εἰς τὸ* [8] *ἐν καταχωρισμῷ γενέσθα*(*ι*) *πρὸ*(*ς*) *τὸ* [9] *μένιν μοι τὸν λόγον*
ομένους
πρὸς τοὺς φα[10]*νησ*[[*θιμενοναι*]] *αἰτίους.* (2te H.) *Σαβεῖνος* [11] *ἐπε*[*ι*]*δέδωκα.*
//
[12] (1te H.) (*Ἔτους*) *λβ Λουκίου Αἰλίου Αὐρηλίου* [13] *Κομμόδου Καίσαρος τοῦ κυρίου Παχὼν ιδ.*

1 Die erste Hand hat natürlich später geschrieben als die zweite, da sie nur Adresse und Datum beifügt.

10 *φανησομένους* durch Korr. aus einer Verschreibung hergestellt; ebenso verschiedene andere Stellen.

112. Anzeige von einem Viehdiebstahl. — 193 n. C. — Faijûm.

BGU 1, 46 ed. Krebs. Nachtr. von Schubart, Arch. 5, 196.

Die Täter sind unbekannt (vgl. S. 33 fg.).

[1] *Ἀρτεμιδώρ*[*ωι*] *στρατηγῶι* [2] *Ἀρσινοίτου Ἡρακλείδου μερίδος* [3] *παρὰ Σαμίου Σαραπίωνος τοῦ* [4] *Νείλου ἀπὸ τῆς μητροπόλεως* [5] *γεουχῶν ἐν κώμῃ Νείλου πόλει* [6] *καὶ κτηνοτρόφος ἐν τῇ αὐτῇ·* [7] *Νυκτὶ τῆς κβ εἰς τὴν κγ* [8] *τοῦ ὄντος μηνὸς Παχών, κτη*[9]*νῶν ὄντων*[*ν πο*]*υ ἐν αὐλῇ ἡμ*[*ε*][10]*τέρᾳ, ἐβαστάχθη ἀπ' αὐτῶν* [11] *ὄνους τέσσαρες τοὺς καλλίστους,* [12] *λευκοὺς μὲν δύο, τοὺς δὲ ἄλλους* [13] *δύο μέλανας. Διὸ ἐπιδίδωμι* [14] *τόδε τὸ βιβλίδιον, ἀξιῶν ἐν κα*[15]*ταχωρισμῷ γενέσθαι, ἐμοῦ* [16] *μὲν ἀναζητοῦντος τούτους* [17] *ἐν οἷς ἐὰν βούλωμαι τόποις, ὅ*[18]*πως, ἐὰν εὐκαιρίας τύχω* [19] *τοῦ εὑρεῖν, ἀποσπάσω, ἵν' ὦ* [20] *ὑπὸ σοῦ τοῦ κυρίου εὐεργετη*[21]*μένος καὶ βεβοηθημένος.* [22] *Διευτύχει.* [23] (*Ἔτους*) *α Αὐτοκράτορος Καίσαρος* [24] *Πουβλίου Ἑλουίου Περτίνακος* [25] *Σ*[*εβασ*]*τοῦ* [*Παχὼν*] *κδ.* [(2te H.)]*αρ*[
Verso:]*σεση*(*μείωμαι*).

5/6 l. *γεουχοῦντος, κτηνοτρόφου.*
10 sqq. l. *ἐβαστάχθησαν* und *ὄνοι* usf.
17 *ἐάν* = *ἄν.*

18 Zu *εὐκαιρίας* vgl. Crönert in Wesselys Stud. 4, 86.
Verso *σεση*(*μείωμαι*) M.

113. Anzeige wegen Feldbeschädigung. — 209 n. C. — Faijûm.

BGU 2 ed. Wilcken.

Da die Täter bekannt sind, ist dieser Anzeige wahrscheinlich ein Gesuch um Bestrafung derselben parallel gegangen. Vgl. Sitz.-Ber. 74.

[1] *Ἀπολλοφάνι* [*τ*]*ῷ καὶ Σαραπαμμῶνι στρα*(*τηγῷ*) *Ἀρσι*(*νοΐτου*) *Ἡρ*(*ακλείδου*) [2] *μ*[*ε*]*ρίδος* [3] *παρὰ Ἑριεῦτος Τατᾶτος ἀπὸ* [*κ*]*ώμης Σοκνο*[4]*παίου*

Νήσου. Μετὰ τὸ ἐπιτελ[έσ]αι με τὰ προ[5]σήκοντα ἔργα μέχρι κατασπορᾶς σιτικῶν [6] ἐδαφῶν ὄντων περὶ τὴ[ν] αὐτὴν κώμην [7] ἐν τόπῳ Τωα(..?) λεγομένῳ τῷ ἐνεστῶτι [8] ἔτει Ἀμοῦνις Κιαλὴ καὶ [Ὧ]ρος Ταθή(μιος?) καὶ [9] Πανεφρέμμις ἐπικαλούμενος Μῶρος [10] καὶ Πατρώνιος οἱ δ καὶ οἱ σὺν αὐτοῖς [11] ἀπὸ τῆς αὐτῆς κώμης ἐπελθόντες τοῖς [12] ἐσπαρμένοις ὑπ' ἐμοῦ ἐδάφεσι ὡς πρόκειται [13] ἄνωθεν ὑπέσχεισαν ὡς ἐκ τούτου οὐκ ὀ[14]λίγη μοι ζημία ἐπηκολούθησεν. Ὅθεν [15] κατὰ τὸ ἀναγκαῖον ἐπιδίδωμι αὐτὸ τοῦτο φα[16]νερὸν πο[ιο]ῦν εἰς τὸ ἐν καταχωρισμῷ γενέσθαι τό[17]δε τὸ βιβλείδιον πρὸς τὸ μένειν ἐμοὶ τὸν λόγον [18] πρὸς αὐτοὺς περ[ὶ τούτο]υ. Δι[ευτ]ύχ(ει). [19] (2te H.) *(Ἔτους) ιζ Λο(υκί)ου Σεπτιμ(ίο)υ Σεουήρ(ου) Εὐσ(εβοῦς) Περτίν(ακος) καὶ Μάρκ(ου) [20] Αὐρηλ(ίο)υ Ἀντων(ίνου) Εὐσ(εβοῦς) Σεβαστῶν καὶ Πουβλ(ίου) Σεπ(τιμίο)υ Γέτα Καίσ(αρος) [21] Σεβ(αστ)οῦ Τῦβι κη.*

1 l. *Ἀπολλοφάνη.*

114. Anzeige wegen Einbruchsdiebstahls. — 216 n. C. — Faijûm. (S. 34.)

BGU 321 ed. Wilcken.
Lit.: Mitteis, Sitz.-Ber. 65, 74.

Die Täter sind bekannt; dementsprechend erfolgt gleichzeitig Gesuch um polizeiliche Vorführung (BGU 322 unter **124**). Ein Duplikat unserer Urkunde, von derselben 1. und 2. Hand geschrieben, ist BGU 7081 R.

[1] *Αὐρηλίῳ Διδύμῳ στρα(τηγῷ) Ἀρσι(νοΐτῶν) Θεμ(ίστου) καὶ Πολ(έμωνος) μερίδων [2] παρὰ Αὐρηλίου Πακύσεως Τεσενούφεως ἱερέως [3] καὶ στολιστοῦ ἱεροῦ λογίμου κώμης Σοκνοπαί[4]ου Νήσου τῆς Ἡρακλ(είδου) μερίδος. Ἔχω τόπον [5] ἐν οἰκίᾳ τῆς τοῦ υἱοῦ μου Αὐρηλίου Τεσενού[6]φεως γυναικὸς ἐν ἐποικίῳ Πισᾶϊ τῆς Θεμ(ίστου) [7] μερίδος, ἐν ᾧ ἐστιν μου τὰ εἰς διατροφὴν [8] ἀποκείμενα σειτάρια. Πρώην οὖν εἰς [9] τὸν τόπον εἰςελθόντων τῶν οἰκείων [10] μου διὰ τὸ ἐμὲ ἐν Ἀλεξανδρείᾳ εἶναι, ἐφευ[11]ρέθη τὰ σειτάρια κεκουφισμένα, ἡ δὲ αἰτία [12] τῆς κλοπῆς ἐφάνη τοῦ τόπου ὑπερῴου ὄν[13]τος ἐκ τοῦ ποδώματος διατρηθέντος τὴν [14] κακουργίαν γεγονέναι. Διελεγχόμενοι δὲ [15] οἱ ἔνδον οἰκοῦντες ὡς ἐξ αὐτῶν ἐπηρείας [16] τοῦτο γεγένηται ὑπέσχοντο διά τε τοῦ τῆς [17] κώμης ἀρχεφόδου καὶ διὰ ἄλλων δώσειν [18] εἰς τὸν λόγον τῆς κλοπῆς πυροῦ ἀρτάβας [19] ἑπτά. Ἀλλ' ἐπεὶ τῇ μὲν ὑποσχέσει συνέ[20]θεντο, τῇ δὲ ἀποδόσει μέχρι νῦν οὐχ' ὑ[21]πήντησαν, ἀναγκαίως τὴν ἐπίδοσιν τῶν [22] βιβλιδίων ποιοῦμαι, ἅπερ ἀξιῶ ἐν καταχω[23]ρισμῷ γενέσθαι εἰς τὸ μένειν μοι λόγον [24] πρὸς τοὺς ἐνκαλουμένους Πανοῦφιν Στο[25]τοήτεως καὶ Πακῦσιν Καννεῖτος. Διευτύχει.* [26] (2te H.) *Αὐρηλίου Πακῦσις ἐπιδέδοκα.* [27] (1te H.) *(Ἔτους) κδ Μάρκου Αὐρηλίου Σεουήρου Ἀντωνίνου [28] Παρθικοῦ Μεγίστου Βρεντανικοῦ Μεγίστου Γερμανικοῦ Μεγίστου Εὐσεβοῦς Σεβαστοῦ [30] Φα(ρμοῦθι) ιβ.*

8 l. *σιτάρια.* Ebenso 11.
26 l. *Αὐρήλιος* und *ἐπιδέδωκα.*
28 l. *Βριταννικοῦ.*

115. Anzeige wegen vermuteten Mordes. — 216 n. C. — Tebtynis.

Teb. 333 edd. Grenfell-Hunt.
Lit.: Mitteis, Sitz.-Ber. 65.

Die Eintragung in den *καταχωρισμός* wird nicht vom Centurio erbeten, sondern in einer Paralleleingabe an den *στρατηγός* (l. 16—18). Vgl. S. 34 A. 2.

[1] *Αὐρηλίῳ* [*Ἰ*]*ουλίῳ Μαρκελλίνῳ* (*ἑκατοντάρχῃ*) [2] *παρὰ Αὐρηλίας Τισάιτος μητρὸς* [3] *Ταέως προχρηματισάσης ἀπὸ* [4] *κώμης Τεπτύνεως τῆς Πολέμω*[5]*νος μερίδος. Τοῦ πατρός μου, κύριε,* [6] *Καλαβάλεως κυνηγοῦ τυγχάνοντος* [7] *ἀποδημήσαντος σὺν τῷ ἀδελφῷ* [8] *μου Νείλῳ ἔτι ἀπὸ τῆς γ τοῦ ὄντος* [9] *μηνὸς πρὸς κυνηγίαν λαγοῶν* [10] *μέχρι τούτ*[*ο*]*υ οὐκ ἐπανῆλθαν. Ὑφορῶ*[11]*μαι οὖν μή ἔπαθάν τι ἀνθρώπινον.* [12] *Ἐπιδίδωμι αὐτὸ τοῦτο φανερόν σοι* [13] *ποιοῦσα πρὸς τὸ ἐὰν ἦσάν τι παθόντες* [14] *ἀνθρώπ*[*ι*]*νον μένιν* [*μ*]*οι τὸν λόγον* [15] [*π*]*ρὸς τού*[*ς*] *φανησο*[*μέ*]*νους αἰτίους.* [16] (2te H.) [*Τ*]*υγχάνω ὁ*[*ὲ τ*]*ούτων τὸ* [*ἴσον*] *ἐπιδοῦσα* [17] *κὲ τῷ στρα*(*τηγῷ*) [*Α*]*ὐρηλίῳ Ἰδι.* [.]*αχῳ πρὸς* [18] *τὸ ἐν καταχ*[*ωρ*]*ισμῷ γενέ*[*σ*]*θαι.* [19] (1te H.) [(*Ἔτους*)] *κε Μάρκου Αὐρηλίου* [*Σ*]*εουήρου* [20] *Ἀντωνείνου Καίσαρος το*[*ῦ*] *κυρίου Χύακ* [21] *κϛ*.

17 l. *καὶ* st. *κὲ*. 20 l. *Χοίακ*.

ANHANG II.

GESUCHE UM POLIZEILICHEN (= FRIEDENSRICHTERLICHEN) SCHUTZ.

116. Gesuch um Rückverschaffung gestohlener Kamele. — Zeit des Commodus. — Faijûm. (Vgl. S. 34 fg.)

BGU 242 ed. Viereck. Nachtr. von Crönert, Stud. Pal. 4, 89; Wilcken, Arch. 4, 409. Original von mir revidiert.

Das Stück darf nicht wegen l. 19/20 zu den *καταχωρισμός*-Eingaben gestellt werden, denn es ist gleichzeitig Bitte um *ἀκοῦσαι* gestellt. — Der Beschuldigte scheint ein Steuereinnehmer zu sein; es wird ihm zur Last gelegt, ungerechtfertigte Steuern von Kamelen eingetrieben zu haben; auch hat er Naturalsteuern eingehoben, für welche der Petent hat Trägerdienste leisten müssen, ohne dafür bezahlt zu werden. Vielmehr wurde er für jede Beschwerde noch geprügelt.

[1] [. . . . . . . *τῷ*] *καὶ Πτολεμαίῳ στρα*(*τηγῷ*) *Ἀρσι*(*νοίτου*) *Ἡ*[*ρακλ*(*είδου*) *μερίδος*] [2] *π*[*α*]*ρ*[*ὰ* . . . . . . *Ζ*]*ωσίμου ἀπὸ τῆς μετρο*[*πόλεως κατα-*] [3] *γε*[*ι*]*ν*[*ομένου ἐν κ*]*ώμῃ Καρανίδι. Ὁ ἐνα*[. . . . .] [4] . . [. . . . .]*ων καμή*[*λων*] *ἐκ βα*[. . . . .] [5] *Ἀντώνι*[*ος*] *προσῆλθεν βουλό*[*με*]*νός με δ*[. . . . .][6]*ρειν, ὧν κέκτηται ἡ γυνή μου Ἀφροδίτη* . [. . . . .] [7] *καμήλω*[*ν*] *δύο καὶ μὴ ὑπακούσαντός μου* [*πλ*]*ηγαῖς πλίσ*[8]*ταις με* [*ἠκ*]*είσατο, ἔτει δὲ καὶ κατὰ τὴν ἐμή*[*ν*] *ἀπουσίαν* [9] *τὸν τῆ*[*ς*] *γυναικός*

6 Ob *δ*[*ραχμὰς δύο* cf. l. 10? M.
7 l. *πλείσταις*.
8 [*ἠκ*]*είσατο* = *ᾐκίσατο* Crönert; [*ἐτ*]*είσατο* Viereck. — l. *ἔτι* st. *ἔτει*.

μου υἱὸν Πολυδεύκην ἀτελῆ ὄντα [10] τὴν ἡλικίαν ἀπήτησεν δραχμὰς δύο ὡ[ς] διδομένων [11] αὐτῷ ὑπὸ πάντων κατὰ κάμηλον. Ἅμα καὶ σήμε[12]ρον αἰτοῦντός μου αὐτὸν φόλετρον ὑπὲρ ὧν ἀ[13]πη[. . . .] α [.]ων ἡμερῶν, ἀφ' ὧν ἀπήτησεν παρὰ [14] π[άντ]ων [τῶν ἐ]κ κώμης, καθ' ἑκά[σ]την ἀρτάβην δρα[15]χ[μῶ]ν . [. . .], πάλειν ὕβριν τὴν ἀνωτάτην μοι ἐποί[16]ησ[εν ἐ]πα[ν]γ[ει]λάμενός μοι καὶ μέχρει τοῦ ζῆν [17] ἐπειβουλεῦ[σ]αι. Εὐλαβούμενός τε μὴ ὡς εἶπεν [18] καὶ ἔργῳ διαπράξηται, [μέχρι (?) κώ]μης Φαρβεί[19]θων τῆσδε τῆς μερίδ[ος ἔφυγον(?) κ]αὶ ἐπει[δ]ί[20]δωμι τό[δ]ε τὸ βιβλίδιο[ν καὶ ἀξιῶ ἐ]ν καταχω[21][ρισμῷ τοῦ]το γενέσθαι, ἀ[κ]οῦσαί [τε μο]ῦ πρὸς αὐτὸν [22] [ὅπως ἐπὶ το]ῦ ῥητοῦ ἀποδ[εί]ξω ἐν τῇ [. . .] . τῃ ἡμέρᾳ [23] [. . . . .]ντα αὐτὸν πλείστους καμήλους, μεθ' ἣν [24] [. . . . . . .]ρους, ἐξ οὗ φαίνεται αὐτοῦ ἡ κλοπή. Διευτ(ύχει). [25] [. . . . .]ς Ζωσίμου ἐπειδ[έδω]κα. [26] [(Ἔτους) . . Αὐρη]λίου Κομ[μόδου Ἀντωνεί]νου Κα(ί)σαρος τοῦ κυρίου Π[αχ]ὼν ια̅.

10 Nachtrag von M.; in der Ausgabe fehlt die Zeile.

11—15 ein dunkler Passus, verbinde vielleicht: *αἰτοῦντός μου αὐτὸν φόλετρον* (= *φόρετρον*) *δραχμῶν* (Zahl) *καθ' ἑκάστην ἀρτάβην, ὑπὲρ ὧν ἀπ[ῆχα? δι]ὰ [.]ων ἡμερῶν*; (*ἀφ' ὧν ἀπήτησε* sind m. E. die eingeforderten Naturalsteuern, an welchen der Petent hat tragen müssen, ohne bezahlt zu werden). Der Trägerlohn wird berechnet als Stücklohn nach Artaben; der Zusatz . . . . . . *ἡμερῶν* soll nicht als Grundlage eines Zeitlohns gelten, sondern nur besagen, daß der Petent tagelang hat schleppen müssen. Doch kann das nur als Versuch einer Erklärung gelten — Statt *ἀπ[ῆχα δι]ὰ* schlägt mir W. in ansprechender Weise vor *ἀπῆ[ν τεσσ]ά[ρ]ων* im Hinblick auf die *ἀπουσία* in l. 8.

14 *π[άντ]ων τῶν* und *καθ' ἑκάστην* M.

16 l. *μέχρι*.

17 l. *ἐπιβουλεῦσαι*.

19. 25 l. *ἐπιδίδωμι, ἐπιδέδωκα*.

21 erg. von W., Arch. 4, 409; cf. Teb. 303, 12. 332, 16.

22 *ἐπὶ τοῦ ῥητοῦ* = am angeordneten Verhandlungstermin; vgl. **53** l. 12, **123** l. 24 u. a.; Teb. 332, 16.

117. Beschwerde eines Ehemanns über seine Frau. — 30—35 n. C. — Oxyrhynchos. (S. 34 fg.)

Oxy. 282 edd. Grenfell-Hunt.

Der Ehemann (Tryphon) ist aus Oxy. 267 (s. Kap. VIII) und andern Papyri bekannt; s. Grenfell-Hunt in der Introd. zu Oxy. 267 und **58**; **79**.

[1] Ἀ[λε]ξάνδρωι στρατηγῷ [2] παρὰ Τρύφωνος τοῦ Διο[3]νυσίου τῶν ἀπ' Ὀξυρύγ[4][χ]ων π[ό]λεως. Συνεβίω[5][σα] Δημ[η]τροῦτι Ἡρακλεί[6]δου, κα[ὶ ἐ]γὼ μὲν οὖν ἐ[7]πεχορήγησα αὐτῇ τὰ ἑ[8]ξῆς καὶ ὑπὲρ δύναμιν. [9] Ἡ δὲ ἀλλότρια φρονήσα[10]σα τῆς κοινῆς συμβιώ[11][σεως] κατὰ πέρ[α]ς ἐξῆ[12][λθε] καὶ ἀπηνή‹γ›κα«ν»το [13] τὰ ἡμέτερα ὧν τὸ κα[14]θ' ἓν ὑπόκειται. Διὸ ἀξιῶ [15] ἀχ[θ]ῆναι ταύτην [ἐ]πὶ σὲ [16] ὅπως τύχῃ ὧν προσή[17][κει] καὶ ἀποδῷ μοι τὰ [18] ἡμέτερα. Τῶν μὲν γὰρ [19] ἄλλων τῶν ὄντων [20] μο[ι] πρ[ὸς] αὐτὴν ἀνθόξο[21]μα[ι] κα[ὶ ἀ]νθέξομαι. Εὐτύχ(ει). [22] [Ἔστι] δὲ τῶν ὑφιειρη(μένων)· [23] [. . . .]φαιον ἄξιον (δραχμῶν) μ [24] . . . . . Hier bricht der Papyrus ab.

20/21 l. *ἀντέχομαι*.

22 l. *ὑφηρη(μένων)* ‹*τὸ καθ' ἕν*›.

118. Anzeige wegen unbefugter Eröffnung einer Kammer. — 108 n. C. — Faijûm. (S. 34.)

BGU 1036 ed. Zereteli. Nachtr. von Wilcken, Arch. 3, 506.

Die Schwägerin des Petenten und ihr Mann haben sich durch den Schlosser unbefugt eine Kammer im Haus des Vaters der verstorbenen Frau des Petenten öffnen lassen, zu welcher er allein den Schlüssel hatte, und haben ihm gehörige Sachen weggenommen.

1 *Λοκρη[τί]ωι Κ[ε]ριάλει στρατηγῶι* 2 *Ἀρσι(νοΐτου) Ἡρακ(λείδου) μερίδο(ς)* 3 *παρὰ Τεσεάφεως νεωτ(έρου) Τεσεάφιος* 4 *τοῦ Πανεφρέμμεως ἱερεὺς ἀπὸ κώμης* 5 *Σοκνοπαίου Νήσου τῆς αὐτῆς μερίδος.* 6 *Τῆι κζ τοῦ διελ[η]λυθ(ότος) μηνὸς Τῦβι* 7 *τοῦ ἐνεστῶτος ι [(ἔτους)] Αὐτοκ(ράτορος) Καίσαρος Νέρουα* 8 *Τρ[αια]νοῦ Σ[εβαστοῦ Γ]ερμανικοῦ Δακικοῦ* 9 *ἐτελẹύτησẹ[ν ἡ γ]υνή μου Σεγάθης* 10 *τῆς Στοτοήτιος. Ἐμ[ο]ῦ ἔχοντος κέλλαν* 11 *ἠσφαλεισμένην ἐν οἰκίᾳ τοῦ πατρὸς* 12 *αὐτῆς οὗ τὰ ἐπ[. .] . πάντα ἅπερ ἐστὶν* 13 *ἀργυ(ρίου) (δραχμὰς) Ἀφπε καὶ χα[λ]κίνων (δραχμὰς) [. . .] καὶ στολὴν* 14 *λεινοῦν καὶ δακτυλίδρυα ἀργυρᾶ ἱερευ*15*τικῶν δύο καὶ ποτήρια κασιδέρινα τρία* 16 *καὶ π̣[οτήριο]ν χαλκοῦν καὶ ἐ[. . . .]ṿ καὶ κạ*17*. [. .] . . [. . . . .] . . ἐν κοσμαρί[οις . . . . . .] . . καὶ* 18 *στατῆρ[ας] ιδ [καὶ σ]τολὴν χρ̣ω̣ματίν[ην]* 19 *[καὶ τὰ ἄλλα] πάν[τα] ὄντα ἐν τῆι κ[έλλ]ηι* 20 *[. . . . .]ṿ [. . . . . .] . [.]τι . [. . . . .] [. .]* 21 *[. . . . .]ṇ τοῦ ἀδε[λφοῦ (?)] ạ[. . .]* 22 *σ[. . . . . . .] Ἀ̣π̣ύγχεως καὶ ἡ τούτου [γυ]νὴ Θενα*23*πῦγχι[ς] οὖσα τῆς γυναικός μου ἀδελφὴ γενα*24*μένων ἐπὶ τὸ αὐτọ̀ ἐμοῦ ἀπὸ πάλαι ἔχον*25*τος . . . [. .] . . . κλεῖδαν [τ]ῆς κέλλας ἰδίαν ἄνευ* 26 *τῆς [ἐμῆ]ς γνώμης [.]πυ . [. . .]ạχαν μου* 27 *τὴν [κέ]λλαν διὰ τοῦ [τ]ῆς κώμης κλειδοποιοῦ* 28 *καὶ συλήσαντες ὅσα [ἔ]χωι ἐν τῇ κέλλαι καὶ* 29 *τὰ προσκεί(μενα). Διὸ ἀξιῶ ἀχθῆναι αὐτοὺς ἐπὶ σὲ* 30 *ὅπως τύχω τῆς ἀ[πὸ] σοῦ δικαιωδωσίας.* 31 *Τεσεᾶφις ἐπιδέδωκα τὸ ἔνκλημα* 32 *καθὼς πρόκ(ειται) (Ἔτους) ι Αὐτ(οκράτορος) Καίσαρος Νέρουα* 33 *Τραιανοῦ Σεβαστοῦ Γερμανικοῦ Δακικοῦ* 34 *Μεχεὶρ δ*

4 l. *ἱερέως*. 15 l. *κασσιτέρινα*.
23/24 l. *γενάμενοι*? 25 *κλεῖδαν* dialektisch für *κλεῖδα*.

119. Gesuch an den Epistrategen um Intervention in einem Streit über Grundstücke. — 145/6 n. C. — Hermupolis magna. (S. 35.)

Gen. 31 ed. Nicole. Nachtr. von Wilcken, Arch. 3, 391.
Lit.: Mitteis, Sitz-Ber. 80.

Die Konstruktion von l. 9 an wird klar, wenn in l. 15 *ἀπελείφθη* ('er blieb im Termin aus') ergänzt wird. Der mit *ἐπεὶ* beginnende und bis zu Ende reichende Satz besagt dann: 'da aber Dioskoros nach der Entscheidung, bei derselben Vermessenheit verbleibend und mich als Witwe verachtend, meine Güter unberechtigt an Bauern verpachtete und von einigen zum Teil den Zins des 9. Jahres empfing, von anderen freilich ich durch den Strategen bei den Pächtern die Arrestierung bis zum Urteil erwirkte, Dioskoros aber,

trotz der durch den Strategiebüttel geschehenen Ladung zur Untersuchung zu kommen, ausblieb, bitte ich' usf. — *Κριτής* und *κρίσις* in l. 6 u. 9 sind abusiv gesetzt (Sitz.-Ber. a. O.).

[1] *Μινικίῳ Κορελλιανῷ τῷ κρατίστῳ ἐπιστρατήγῳ* [2] *.αρὰ Τετῆτος Τρύφωνος τῶν ἀπὸ Ἑρμοῦ πόλ(εως) τῆς μεγάλης.* [3] *Διόσκορος Ἑρμαίου ἀνὴρ τῆς θυγατρός μου Τιεῦτος ἑκά*[4]*στοτέ σοι κατ' ἐπιδημίαν παρενοχλῶν καὶ κα[τ]εν*[5]*τυγχάνων μου ἀνεπέμφθη ὑπὸ σοῦ πρός μ[ε] ἐπὶ Διό*[6]*σκορον Μουσαίου κριτὴν τῷ θ (ἔτει) Ἀντωνείνου Καίσαρος* [7] *τοῦ κυρίου, ὃς διαλαβὼν περὶ τῶν ἀμφισβητουμένων* [8] *ἡμεῖν ἀπεφήνατο φυλάσσων ὅσα ἐθέμεθα ἀλλήλοις* [9] *γράμματα. Ἐπ[εὶ] δὲ μετὰ τὴν κρίσιν τῇ αὐτῇ αὐθαδίᾳ* [10] *χρώμενος ὁ Διόσκορος καταφρονῶν μου τῆς χηρεί*[11]*ας ⟨τὰ⟩ ὑπάρχοντα μου ἀλόγως διεμίσθωσε γεωργοῖς* [12] *καὶ τῶν μὲν ἐγ μέρ[ους] ἐκφόρια ἔλαβεν τοῦ θ (ἔτους), τῶν* [13] *δὲ ἀποκατέσχον διὰ στρατηγοῦ παρὰ γεωργοῖς ἄχρι* [14] *κρίσεως, παραγγελείς τε ὁ Διόσκορος διὰ στρατηγι[κ]οῦ* [15] *μαχαιροφόρου ἥκειν ἐπὶ τὴν αὐτοῦ διάγν[ωσ]ι[ν ἀπελεί]*[16]*φθη, ἀξιῶ σὲ τὸν εὐεργέτην, ἐάν σοι δόξῃ, ποιῆσαι τὰ δέον*[17]*τα πρὸς αὐτὸν καὶ πέρας ἐπιθεῖναι τοῖς κ[ακουργήμασι]* [18] *πρὸς τὸ μὴ ἔτι ὕστερόν με ἐπηρεάζεσθαι, ἵνα ὦ εὐ[εργετη]*[19]*[μ]ένη. Διευτύχει.*

15 [*ἀπελείφ*]*θη* M.

120. Bitte um Rechtshilfe gegen widerspenstige Darlehnschuldner. — 146 n. C. — Faijûm. (S. 34.)

Gen. 6 ed. Nicole. Nachtr. von Wilcken, Arch. 3, 381.

Von dem in l. 6 erwähnten *χειρόγραφον* wird nicht gesagt, daß es *δεδημοσιωμένον* war (vgl. Kap. III); doch kam es in dem vorliegenden Polizeiverfahren auf juristische Genauigkeit auch nicht an. — Die Schlußworte (*ἕνεκα τοῦ καὶ εἶναί με καμηλοτρόφον*) spielen darauf an, daß Petent als Kameltreiber für staatliche Transporte herangezogen werde und darum besonderer Fürsorge bedürfe; solche Hinweise auf öffentliche Funktionen sind häufig.

[1] *Μαξίμῳ τῷ καὶ Νεάρχῳ στρα(τηγῷ) Ἀρσι(νοείτου) Ἡρακλ(είδου) μερί(δος)* [2] *παρὰ Στοτοήτιος τοῦ Στοτοήτιος ἀπο κώμης* [3] *Σοκνοπαίου Νήσου. Ὁ προγεγραμμένος μου* [4] *πατὴρ Στοτοῆτις, ὁπότε περιῆν, ἐδάν[εισε]* [5] *Στοτοήτι καὶ Πεκύσι ἀμφοτέροις Παχύσιος [κα]*[6]*τὰ χειρόγραφον γεγονὸς τῷ ιη' (ἔτει) Θεοῦ Ἀδριαν[οῦ]* [7] *[μη]νὶ Ἐπεὶφ ἀργυρίου [δρ]αχμὰς χειλίας* [8] *πεντακοσίας. Ἀναστρ[α]φέντος δέ μου πε[ρὶ]* [9] *τὴν τούτων ἀπαίτησιν διὰ τ[ὸ] μή[τ]ε τόκο[υς]* [10] *μήτε ἐκ τ[οῦ] κεφαλαίου τι αὐτοὺς [κα]ταβε*[11]*βληκέναι, ἕνεκα τοῦ τὸν ἕνα τῶν [δύ]ο χρεω[στῶν]* [12] *Στοτοῆτιν [τ]ετελευτηκέναι καὶ τ[ὸ]ν Πεκῦ*[13]*σιν καταφρονεῖν μου τῆς ἡλικίας, ἐπὶ σὲ* [14] *κατέφυγον καὶ ἀξιῶ, ἐάν σοι δόξῃ, μεταπέ[μ]*[15]*ψασθαι τὸν Πεκῦσιν, ἵνα δυνηθῶ ἐκ τῆς* [16] *σῆς βοηθείας κομίσασθαι τὸ ἴδιον, καὶ [ἀπὸ]* [17] *αὐτῶν διατρέφεσθαι, ἕνεκα τοῦ κα[ὶ] εἶναί μ[ε]* [18] *καμηλοτρόφον.* [19] *("Ετους) θ Αὐτοκράτορος Καίσαρος Τίτου Αἰλίου Ἀδριανοῦ* [20] *Ἀντωνείνου Σεβαστοῦ Εὐσεβοῦς Παχὼν η'.*

121. Eingabe an den Epistrategen wegen Vorenthaltung von Erbschaftsstücken. — 2. Jahrh. n. C. — Faijûm. (S. 35.)

BGU 168 ed. Krebs.
Lit.: Mitteis, Hermes 30, 580/1; Sitz.-Ber. 78.

Der Gesuchsteller, der Veteran Julius Apollinaris, kommt auch in BGU 542. 862 und Lond. 2, Nr. 178 p. 207 vor.

[1] [Ἀν]τίγρ(αφον) [ἀν]αφορίο[υ. Ἰο]υλίῳ Καπιτω[λεί]νῳ τῷ κρα(τίστῳ) [ἐπ]ιστρα(τήγῳ) [2] παρὰ Ἰου[λίο]υ Ἀπολι[να]ρίου οὐετρανοῦ προδίκου Ἀπολιναρίου καὶ [3] Οὐαλερί[ου . . . .]ρανου [ἀ]φηλί[κω]ν Ἀντινοέω[ν]. Πρέπ[ει] μὲν σ̣[ο]ί, ἐπι[4]τρόπων μ̣[έγι]σ̣τε, πᾶ[σι] ἀνθρώποις ἀπονῖμαι τὰ ἴδια, ἐξαιρέτως δὲ [5] τοῖς ἀτελέσι ἔχουσι τὴν ἡλικίαν. Τὸ δὲ πρᾶγμα τοιοῦτόν ἐστιν· [6] Θα[τ]ρῆς̣ [. . . .]ως ἀπὸ κώμης Καρανίδος [τ]ῆς Ἡρακλείδο[υ] μερίδο[ς] [7] τοῦ Ἀρσ[ινοΐτ]ου νομοῦ, προ[φερ]ομένη εἶναι ἀδελφὴ τοῦ [τ]ῶν [8] .ἀφη[λ]ίκ[ων πά]ππου, ἐ[ν]κρ[α]τ[ὴς] ἐγένετο π̣[ά]ντων τῶν [ἀ]νηκόν[9]των τοῖ[ς ἀφ]ήλιξι ὑπαρχό[ν]των καὶ δουλι[κ]ῶν σωμάτων καὶ [10] τῆς καταλιφθείσ[η]ς ὑπὸ τῶν γονέων αὐτῶν ἐνδομενίας [11] πλεί[στης? οὔσ]ης, πρ[ὸ̣]ς ἥ[ν καὶ ἀν]τικατέσ[την] ἐπὶ Αἰλίου Εὐδαίμονος [12] τοῦ στρα[τ]ηγήσα̣[ν̣]τ̣ος, ὃς παραδοὺς ἐμοὶ τὰ δουλικὰ σώματα [13] ἐκέ[λ]ευ[σε]ν ἀποκατασταθῆναί μοι τὴν ἐνδομενίαν καὶ [14] [τ]ῶν ὑπ[αρ]χόντ[ων] ἀντιλαβέσθαι με. Ἡ δὲ Θατρῆς ἐπιγνοῦ[15]σα τὴν [το]ῦ Εὐδαίμονος ἔξοδον σύνεργον λαβομένη Ἰούλιον [16] Οὐαλέριον, ὃς ἐπιγ[νο]ὺς τὴν τοῦ Εὐδαίμονος ἔξοδον οὐκ ἀ[17]πέδωκ[ε]ν τὴν ἐνδομενίαν, οὐδὲ μὴν παρέδωκεν τὰ [18] ὑπάρ[χο]ντα, καὶ ἐκ τούτου ἐδέησέν με τῇ προτέρᾳ [19] [σ]ο̣υ [ἐπιδ]ημίᾳ ἐ̣ντυχεῖν σοι διὰ βιβλειδίων, οἷς καὶ ὑπέγρα[20][ψας, ἐντ]υχεῖν [μ]ε τῷ βασιλικῷ διαδεχομένῳ τὰ κατὰ [21] [τὴν στρ]ατηγίαν, ἐφ' οὗ καὶ ἀντικατέ[σ]την τῇ λ̄ τοῦ διελη[22][λυθότος] μηνὸς Ἀθὺρ πρὸς τὸν Οὐαλέριον καὶ ἀπεφήνατο [23] [οὕτως· Σ]ερῆνος ὁ βασιλικὸς διαδεχόμενος καὶ τὰ κατὰ [24] [τὴν σ]τρ(ατηγίαν) σκεψάμενος εἶπεν· Τὰ ὑφ' ἑκατέρου μέρους [25] [λεχθέν?]τα τοῖς ὑπομνήμασι ἀνελήμφθη. Ἀναπέμπω [26] [οὖν τὸ π]ρᾶγμα ἐπὶ τὸν κράτιστον ἐπιστράτηγον, [27] [τῶν ἀν]δραπόδων παρ' οἷς ἐστιν ὄντων. Ὅθεν ἀξιῶ, [28] [ἐάν σου τ]ῇ τύχῃ δόξ[η], διακοῦσαί μου πρὸς αὐτοὺς [29] [ὅπωσδή]ποτε ἐκ τῆ[ς σῆ]ς εὐεργεσί[α]ς
σὺν αὐτοῖς
δυνηθῶσι οἱ ἀφήλι[30][κες τῶ]ν ἰδίων ἀντιλαμβάνεσθαι, ἵν' [ὦ] ὑπὸ σοῦ εὐεργετημένος. Διευτύχει.

20 βασιλικῷ erg. γραμματεῖ (desgl. 23).

122. Polizeigesuch wegen Einbruchsdiebstahl und Injurie. — 175—180 n. C. — Soknopaiu Nesos. (S. 34.)

Gen. 3 ed Nicole. Nachtr. von Wilcken, Arch. 3, 380.

[1] Φρ . . . ίῳ Πρώκλῳ ἑκατοντάρχῃ [2] παρὰ Παβοῦτος καὶ Ἁρπά[λ]ου ἀμ[3]φοτ[έ]ρων Μέλανος ἱερέως Νήσου [4] Σοκ[ν]οπαίου. Ὁ προγεγραμμένος [5] πα[τὴ]ρ ἡμῶν, κύριε, τελευτήσας [6] ἐφ' [ἡ]μεῖν καὶ Στοτοήτι καὶ Τανε-

φρό[7]νι κ[λ]ηρονόμοις, κατεθέμεθα ἀμ[8]φό[τ]εροι τὴν ὑπὸ αὐτοῦ κατ[α]λιφθῖ[9]σα[ν] ἐνδομενίαν. Οὐδενὶ λόγῳ [10] χρη[σά]μενος ὁ προγεγραμμέ[11]νος [Σ]τοτοῆτις κατὰ ἀπουσίαν ἐ[12]πελθὼν εἰς τὸν τόπον σὺν τῇ προ[13]γεγραμμένῃ Τανεφρ[ό]νι, οὗ ἀπέκι[14]τω ἡ ἐνδομενία, τῶν σφραγίδων ἡ[15]μῶν [κ]οινῇ πάντων ἐπικιμένων, [16] καὶ βαστάξαντες τὰς ἐπικι[μέ]νας [17] [σ]φραγ[ῖ]δες εἰσῆλθαν κα[ὶ πά]ν[18]τα ἃ [κ]ατεθέμεθα ὑφίλαντο. [Ἡ]μῶν [19] [ο]ὖν παραγενομένων δ[ι]ελέσθα[ι] [20] [ὅ τ]ε [Σ]τοθοῆτις τῇ ἑαυτοῦ δυνάμι πε- [21] [πυ]θὼς ἐπεπήδησεν καὶ πλη[22][γὰς] οὐ τὰς τυχούσας ἡμεῖν ἐπή[23][νεγκ]εν. Ὅθεν ἀξιο[ῦ]μεν ἀχθῆναι [24] [αὐτοὺς] ἐπὶ σ[ὲ] λόγον [δώσο]ντας περὶ ὧν [25] [ἡμᾶ]ς διεπράξα[ντο]. Διευτύχει. [26] [Ἔτους . . Α]ὐρηλίων Ἀντωνίνου καὶ Κομμόδου [27] [τῶν] κυρίων Σεβαστῶν Θὼθ κγ·

1 l. Πρόκλῳ.
4 fg. l. Τοῦ πατρὸς .... τελευτήσαντος.
13/14 l. ἀπέκειτο.
17 l. [σ]φραγ[ῖ]δας.
18 l. ὑφείλαντο.
20 l. Στοτοῆτις.
22/33 l. ἡμῖν.
22 Zu οὐ τὰς τυχούσας vgl. **31** V 2.

123. Beschwerde wegen Erpressung einer Schuldverschreibung. — 184 n. C. — Soknopaiu Nesos. (S. 34.)

Amh. 78 edd. Grenfell-Hunt.

[1] Αὐρ[η]λίῳ Ἀντωνείνῳ (ἑκατοντάρχῃ) [2] παρὰ Στοτοήτιος Ἀ[γ]χώφεως [3] ἀπὸ κώμης Σοκνοπαίου Νήσου. [4] Βίαν πάσχων ἑκάστοτε ὑπὸ [5] Ἑκύσεως ἐπικαλουμένου [6] Εὐπορᾶ τινος ἀπὸ τῆς αὐτῆς [7] κώμης ὅστις πο[λ]λὰ μὲν καὶ [8] ἄλλα εἴς με διαπραξάμενος [9] ἔ[τι] καὶ τῇ συνγενίδι μου [10] . [. .]ιστου πρὸς γάμον συνελ[11]θ[ὼ]ν ἐν τοῖς κοινοῖς ἡμῶν [12] ὑ[π]άρχουσι παντοδαπῶς [13] μ[ου] πλεονεκτῖ ἄνθρωπος [14] ἀ[σ]θενής. Ἐπὶ τούτοις δὲ [15] [καὶ ἐ]ν νωθρίᾳ μου γενομένου [16] [ἐξ]εβιάσατο ὥστε ἀσφάλιαν [17] γ[ρ]απτὴν αὐτῷ με ποιήσασ[18]θαι, ἐπανγειλάμενος εἰ μὴ [19] [πο]ιῶ εἰς τὸ ζῆν μοι ἐπιχειρή- [20] [σει]ν. Τοιαύτης ο[ὖ]ν αὐθαδίας [21] ἐν αὐτῷ οὔσης οὐ δυνάμενος [22] [ἐν]καρτερεῖν ἐπιδίδωμι καὶ [23] [ἀξ]ιῶ ἀχθῆναι αὐτὸν εἰς τὸ δια[24]κουσθῆναι. Ἐπὶ γὰρ τοῦ ῥητοῦ [25] [κ]αὶ ἕτερα τούτων μίζονα ἀπο[26]δείξω. Διευτύχι. [27] Ἔτους κε Μάρκ[ο]υ Αὐρηλίου [28] [Κο]μμόδου Ἀντωνείνου Σεβαστ[οῦ] [29] [Ε]ὐσεβοῦς Θὼθ λ.

13/14 l. ἀνθρώπου ἀ[σ]θενοῦς.
24 Zu ἐπὶ τοῦ ῥητοῦ vgl. **116** l. 22.

124. Gesuch um Polizeischutz wegen Einbruchdiebstahls. — 216 n. C. — Faijûm. (S. 34.)

BGU 322 edd. Krebs-Wilcken = P. Louvre 10356 ed. de Ricci, Festschr. f. Hirschfeld 104 fg.
Lit.: Mitteis. Sitz.-Ber. 65. 74.

Vgl. oben **114**. Die beiden Stücke unterscheiden sich durch Adresse und Schlußpetit, während der sonstige Inhalt derselbe ist. Hierüber und über ähnliche Doppeleingaben s. meine Ausführungen a. a. O.

[1] Αὐρηλίῳ Καλβεισίῳ Μαξίμῳ (ἑκατοντάρχῃ) [2] παρὰ Αὐρηλίου Πακύσεως Τεσενούφεως [3] ἱερέως καὶ στολιστοῦ ἱεροῦ λογίμ[ου] κ[ώμης] [4] Σοκνοπαίου Νήσου τῆς Ἡρακλ(είδου) μερίδ[ος. Ἔχ]ω [5] τόπον ἐν οἰκίᾳ τῆς τοῦ υἱοῦ μου Α[ὐρηλί]ου [6] Τεσενούφεως γυναικὸς ἐν ἐποι[κί]ῳ [7] Πισᾶϊ λεγομ(ένῳ) τῆς Θεμίστου μερίδος, ἐν ᾧ ἔσ[8]τιν μου τὰ εἰς διατροφὴν ἀποκείμενα [9] σειτάρια. Πρῴην οὖν εἰς τὸν τόπον εἰσελθόν[10]των τῶν οἰκείων μου διὰ τὸ ἐμὲ ἐν Ἀλε[11]ξανδρείᾳ εἶναι ἐφευρέθη τὰ σειτάρια [12] κεκουφισμένα, ἡ δὲ αἰτία τῆς κλοπῆς [13] ἐφάνη τοῦ τόπου ὑπερῴου ὄντος ἐκ τοῦ [14] ποδώματος διατρηθέντος τὴν κακουργί[15]αν γεγονέναι. Διελεγχ[ό]μενοι δὲ οἱ ἔνδον [16] οἰκοῦντες ὡς ἐξ αὐ[τῶ]ν ἐπηρείας τοῦ[17]το γεγένηται, ὑπέσχοντο διά τε τοῦ τῆς [18] κώμης ἀρχεφόδου [κ]αὶ διὰ ἄλλων δώσειν [19] εἰς τὸν λόγον τῆς κ[λοπῆ]ς πυροῦ ἀρτάβας [20] ἑπτά. Ἀλλ' ἐπεὶ τῇ μ[ὲν] ὑποσχέσει συν[21]έθεντο, τῇ δὲ ἀποδόσ[ε]ι μέχρι [ν]ῦν οὐχ' ὑ[22]πήντησαν, ἀναγκαίως τὴν ἐπὶ σὲ καταφυ[23]γὴν ποιοῦμαι καὶ ἀξιῶ ἀχθῆ[ναι] τοὺς ἐν[24]καλουμένους Πανοῦφιν Στοτοήτεως [25] καὶ Πακῦσιν Καννεῖτο[ς π]ρὸς τὸ [ἐ]κ τῆς σῆ[ς] [26] ἐξουσίας δυνηθῆναί με ἀντὶ πλειόνων [27] τῶν κλεπέντων τὰ[ς σ]ταθείσ[ας] μου πυροῦ [28] ἀρτάβας ἑπτὰ ἀπολαβ[εῖ]ν. Διευτύχει. [29] (2te H.) Αὐρηλίου Πακῦσις ἐπιδέδοκα. [30] (1te H.) (Ἔτους) κδ Μάρκου Αὐρηλίου Σεο[υ]ήρου Ἀντων[ί]ν[ου] [31] Παρθικοῦ Μεγίστου Βρενταννικοῦ Μεγίσ[τ]ου [32] [Γ]ερμανικοῦ Μεγίστου Εὐσεβοῦς Σεβαστοῦ [33] Φαρμοῦθι ιβ.

9 l. σιτάρια. 29 l. Αὐρήλιος u. ἐπιδέδωκα.
27 l. κλαπέντων. 31 Βριταννικοῦ.

125. Gesuch um Bestrafung wegen Injurie. — Trajanische Zeit. — Faijûm.

BGU 36 ed. Krebs = BGU 436. Original von mir revidiert. (S. 34.)

Die Datierung zeigt BGU 908; vgl. Wilcken, Arch. 2, 137.

[1] Μεσσίῳ Αὔδακι ἑκατοντ[άρ]χ[ῃ] [2] παρὰ Στοτοήτιος τοῦ Ἀπύ[γ]χεως [3] ἱερέως ἀπὸ κώμης Σοκνοπαίου [4] Νήσου. Στοτόητις ὁ καὶ Φανῆσις Στο[5]τοήτιος καὶ οἱ ἀδελφοὶ Ἁρπαγάθης [6] καὶ Ὧρος ὀφείλοντές μοι κατ' οὐδὲν [7] ἐπιστρέφονται ἀποδῶναί μοι διαπλα[8]νῶντες καὶ ὑπερτιθέμενοι, ἀλλ' ἔτι [9] καὶ ἐπήλθοσάν μοι καὶ ὕβριν οὐ τὴν [10] τυχοῦσαν συνετελέσαντο καὶ πληγὰς [11] ἐπή[νε]γκαν καταρήξ[α]ντες καὶ [12] ὃν εἶχον κιτῶνα, ἐπαγγελλόμενοι [13] [κ]αὶ τοῦ ζῆν με[τ]α[σ]τῆσαι· [Ὅ]θ[εν ο]ὐ δυ[14]νάμενος καθησυχάζειν ἀ[ξ]ιῶ ἀχθῆ[15]ναι αὐτοὺς ἐπὶ σὲ πρὸς τὴν δέουσαν [16] ἐπέξοδον.

7 l. ἀποδοῦναι. 12 κιτῶνα (= χιτῶνα) M.
9/10 ὕβριν οὐ τὴν τυχοῦσαν = ungewöhnlicher Frevel; s. zu 31 V 2.

126. Gesuch um Bestrafung wegen Injurie. — 350 n. C. — Hermupolis magna.

Amh. 141 edd. Grenfell-Hunt. (S. 30 und 34.)

Die Beschwerde ist an den Praepositus pagi gericht, welcher im 4. Jahrh. die Polizeigewalt über den Pagus inne hat.

[1][Αὐρ]ηλίῳ Δι[οκλεῖ . . . .] πρα̣[ιπ(οσίτῳ) ιβ πάγου] [2]νομοῦ [Ἑρμοπολεί]του [3][πα]ρὰ Αὐρηλία[ς Θαήσ]ιος Παθερμουθί[ο]υ̣ ἀπ̣[ὸ [4]κώμ]ης Πεννη[. τοῦ] ὑπὸ σὲ πάγον. Ὁ δμο[5][γνήσ]ιός μου ἀδελ.[ὸς . .]σσος συνοικ[εῖ [6]μοι] καὶ μηδεμιᾶ[ς ἀμ]φιζβητήσεως [7][οὔσης] π. ὸς ἀλλήλ[ους ἐ]ξ [τ]υκόντων ἐπῆλ[8][θέν] μοι μετὰ τῆς [συ]μβίου αὐτοῦ Ῥίας, καὶ [9][κατε]νεγκόντες εἰς τὸ ἔδαφος πληγαῖς [10]ἱκαναῖς με κατέκτι[να]ν γρόνθοις τε καὶ λακτί[11][σ]μασιν καθ' ὅλων τῶν σωμάτων ὡς καὶ [12]ἐπὶ τῶν ὄψεών μου τὰ οἰδήματα φαίνεται, [13]ἡμιθανῆ καταστήσαντες, οὐδὲν ἧττον [14][κα]ὶ̣ τὴν περὶ ἐμὲ ἐσθῆτα περιέσχεισαν. [15][Ὅ]θ[ε]ν οὐ̣ δυναμένη ἀφησυχάσαι γυνὴ [16][ἀσθε]νὴς καὶ χήρα ἐπιδίδωμι τῇ ἐπιεικείᾳ [17][σο]υ τάδε τὰ βιβλία [μο]υ τοσοῦτο μαρτυραμένη [18][κ]αὶ ἀξιοῦσα τῆς παρὰ σοῦ ἐκδικείας τυχεῖν. [19]Διευτύχει. [20][Ὑ]πατείας Σεργίου καὶ Νιγρινιανοῦ τῶν [21]λαμπροτάτων Φ[αρ]μοῦθι ιβ'. [22]Αὐρηλία Θαῆσις Παθερμουθίου ἐπιδέδωκα. [23]Φλ(αούιος) Ἀμμώνιος οὐετρανὸς ἀξιωθ(εὶς) ἔγραψα [24]ὑπ(ὲρ) αὐτῆς γράμματα μὴ εἰδυίης.

1 erg. nach Amh. 139; 140 (G.-H.). 7 l. ἐκ τυχόντων.

127. Anzeige an den *νυκτοστράτηγος* betreffend Mißhandlung unter Ehegatten nach Zusendung des libellus repudii. — 390 n. C. — Hermupolis.

Lips. 39 edd. Mitteis-Wilcken.

[1]Ὑπατ[είας το]ῦ δεσπότου [ἡμ]ῶν Οὐαλεν[τι]νιανοῦ τοῦ αἰωνίου Αὐγούστου τὸ δ// [2]καὶ Φ[λαυίου Ν]εωτερίου [τοῦ] λαμπροτά[το]υ Χοίακ κζ. [3]Αὐρηλίῳ Κύρῳ Φ[ιλάμμ]ωνος ἐνάρχῳ νυκτοστρ[ατ]ήγῳ Ἑρμο[ῦ] πόλεως [4]τῆς λ[α]μπροτάτης [5]παρὰ Αὐρηλίας Δημητρίας Εὐγενίο[υ] ἀπὸ τῆς αὐτῆς πόλεως. Ἐχρῆν [6][τ]οὺ̣ς̣ [ἅ]π̣αξ πειραθέν[τ]ες ἐπιστρ[εφεία]ς καὶ ἄρχοντος φόβου [τ]οῦ λοιποῦ [7]σω[φρο]νεῖν καὶ μ[η]κέτι κατὰ μ̣ηδε̣ν̣ὸ̣ς̣ ἀτόπημα διαπράξασθαι. [8]Κάλ[α]νδος τοίνυν, τὰ [ἐ]ναντία τούτου μελετῶν, ἐξ ὧν ἐτόλμ[ησ]εν [9]κατ' [ἐ]μο[ῦ μ]ετὰ [τ]ὴν [ἄ]νοδον τοῦ κυρ[ί]ου μου τοῦ κόμιτος, [μ̣]ε[τὰ] τ̣ὸ δο[10]θὲν αὐτῷ ῥιπούδιον [ὑ]π̣' ἐμοῦ μετὰ [τὴ]ν γεν[ο]μένην μεταξὺ διάλυσιν [11]ε[ἰσέ]φρησεν ἑαυτὸ̣ν εἰς τὴν ἐμὴν ἑστίαν, [ὡς] ἐ̣ν̣ βαρβάροις παρ' οὐδὲν [12][ἡγεῖ]τ̣α̣ι̣ τὴν τῶν νόμων ἐπιστρέφε[ιαν] τύψας με [ἀν]ελεῶς, κλά[σα]ς καὶ [13]χεῖράν μου ὡς καὶ τὰ ὑπώπια ἔχω ἀ̣φ' ὅλων τ̣ῶν ὠ. [. . .] [14][καὶ] τῶν π̣ρ̣ο̣σ̣[. . . . . Διὰ τ]οῦτο ἐπ̣ι̣[δίδωμι τῇ σῇ] ἐπιεικείᾳ τὰς ἐμοῦ [15][. . . . . δ]εομέ[νη . . . .]

Hier bricht der Papyrus ab.

6 l. πειραθέντας. Der Sinn des Satzes ist: Kalandos (l. 8) (gegen den seine hier klagende Frau schon einmal Beschwerde beim Comes — lin. 9 — erhoben haben muß) sollte, da er einmal die Aufmerksamkeit (der Behörden) und die Autorität des *ἄρχων* kennen gelernt hatte, für die Zukunft vernünftig sein usf.

128. Gesuch an den *ἔπαρχος εἴλης* von Dionysias um Schutz im Erbrecht. — Circa 340 n. C. — Faijûm. (S. 34.)

P. Lond. 2 Nr 406 (p. 281).

[1] [Φ]λαουίῳ Ἀβινναίῳ ἐπάρχῳ εἴλης [2] [στρατ]ιωτῶν κάστρων Διονυσιάδος. [3] Δέησις [4] [παρὰ] Αὐρηλίας Μαρίας θυγατρὸς Πεειήου [5] [τῶν ἀ]πὸ
Ἑρμοῦ πόλεως
⟪κώμης⟫. Τῶν γωνέων μου τελευτη[6][σάντ]ων κατέλιψαν πάντα τὰ ἀνθρώπια· [7] [ὁ δ' ἀ]δελφός μου Ὠνῶφρις π̣α̣ν̣τ̣α̣ κ̣α̣τ̣ε [8] [. . .] τα τινα ἐπώλησεν. Διὰ αὐτὸ τοῦ[9][το ἀξ]ιῶ καὶ δέομαι σοῦ τῆς φιλανθρωπί[10][ας ὅ]πως καταναγκάσῃς αὐτὸν πάν[11][τ' ἐνε]ν̣κέναι ὡς προεῖπα ἐξ ἴσου δια[12][μερι]σθῆναι καὶ τούτο⟨υ⟩ τυχὼν εἰς ἀεὶ σοῦ [13] [τῇ τύ]χ̣η̣ χάριτα ⟪σοι⟫ ὁμ[ολογήσω] [14] [κύρι]ε. [15] [Ἔσ]τιν δέ· (Hier bricht der Papyrus ab).

5 Ἑρμοῦ πόλεως ist Korrektur statt κώμης; der Name der κώμη ist infolgedessen gar nicht mehr geschrieben worden. — l. γονέων.
6 l. ἀνθρώπι⟨ν⟩α?
8 l. ἀπώλεσεν.
11/12 δια[μερι]σθῆναι M; δια[δικα]σθῆναι Ken. L. etwa ⟨πρὸς τὸ⟩ ἐξ ἴσου διαμερισθῆναι.
15 Hinter ἔστιν δέ folgte das Inventar des Nachlasses.

Weitere beachtenswerte Stücke zu diesem Kapitel sind:

1. Das Ὑπόμνημα CPR 1 Nr. 233 v. J. 314 (anscheinend ein vorbereitender Schriftsatz, u. z. eine Replik gegen erhobene Einwendungen; gerichtet an einen hohen Beamten, und von ihm dem zur Entscheidung bereits delegierten πραιπόσιτος τοῦ πάγου zugestellt).

2. Reste von Verhandlungsprotokollen in BGU 706. 868. 893; P. Cairo, Arch. 3, 40; Chic. 29.

KAPITEL III.

DIE URKUNDE.

1. ZU DEN DEMOTISCHEN URKUNDEN.

129. Griechische Übersetzung eines demotischen Kaufvertrags (Silberurkunde, vgl. Kap. VI 1) über *λογεῖαι* und *λειτουργίαι* an bestimmten Mumien (nach dem Erwerber Antigraphum Greyanum genannt). — 146 v. C. — Theben. (Vgl. S. 81 A. 4.)

Lond. 1 Nr. 3 p. 46 ed. Kenyon 1 p. 46—47 (Ed. princeps: Young, an account of some recent discoveries in hieroglyphical literature etc. London 1823). Nachtr. von Wilcken, GGA 1894, 724 fg.

Lit.: Kenyon in der Introd. — Peyron zu P. Tor. 1 p. 114 fg. und passim. — Otto, Priester und Tempel 2, 177 fg. Vgl. noch den verwandten P. Par. 5 mit der Erläuterung von Brunet de Presle.

Andere Übersetzungen von demotischen Kaufverträgen sind Leyd. P.; BGU 1002; Teb. 164; Wessely, Spec. tab. 6 Nr. 6; tab. 13 und 19; P. Rylands p. 169 fg.; Giss. 39.

Die neueste Übersetzung des demotischen Originals s. bei Spiegelberg, demot. Pap. zu Berlin (1902) S. 10 Tafel 17—18.

Der Inhalt dieses Papyrus ist folgender.

Drei zu der auch in Par. 5 erscheinenden Choachytenfamilie (den Stammbaum [nach Brugsch] s. das. p. 157) gehörige Brüder, Onnophris, Horos und Asos, haben Anteile an den *λογεῖαι* und *λειτουργίαι* für gewisse Mumien in den Memnoneia (der Totenstadt) gegenüber von Theben; kraft gegenwärtigen Instruments verkauft Onnophris seinen Anteil an Horos. Von l. 15 ab wird auch vom Anteil des Asos gesprochen, jedoch in sehr unklarer Weise, vgl. dazu die Anm. von Kenyon zu l. 18. Wie die *λογεῖαι* und *λειτουργίαι* sich zueinander verhalten, wird von einem Demotiker nach dem demotischen Text als unklar bezeichnet: Spiegelberg l. c. und S. 16 A. 3, welcher schließlich meint, daß es sich um verschiedene Arten von Choachytenarbeiten handelt. Natürlich würde das Recht dazu nur wegen der damit verbundenen Gebühren verkauft. Nach Otto a. O. sollen *λογεῖαι* und *λειτουργίαι* verschiedene Arten von S p o r t e l n sein. Diese Deutung stimmt zu den *λογεῖαι* besser als die Spiegelbergsche, aber sie vereinigt sich wieder nicht mit *λειτουργίαι*, das doch Dienstleistungen bezeichnet, weshalb Otto gezwungen ist, hier eine übertragene Bedeutung dieses Wortes vorauszusetzen. Sollte

nicht einfach nach dem Wortsinn vorzugehen und *λογεῖαι* als Gebühren, *λειτουργίαι* als die diesen entsprechenden kultuellen Akte anzusehen sein? Daß auch die letzteren „verkauft“ werden, hat nichts Auffallendes; wenn sie ein ertragsreiches Gewerbe bildeten, bildete das Recht zu ihrer Vornahme ein Besitzobjekt. Für diese Auslegung scheint mir Col. II l. 40—42 zu sprechen; die Worte '*ὠνῆς τῶν λογευομένων ἀνθ' ἧς ποιοῦνται λειτουργίας*' werden so am besten verständlich.

Über den eigentümlichen Stil der ägyptischen Kauf-Urkunde (*ηὐδόκησάς με* usf.) s. Kap. VI. — Über den Choachytenstand s. Anm. zu **31** I 21.

In l. 37 fg. ist das *πτῶμα* (darüber S. 78 und **152** Anm. 25) beigesetzt. Dasselbe ist zu übersetzen wie folgt: Es hat bezahlt an die Bank in Diospolis (= Theben), deren Direktor Lysimachos ist — für 5% Enkyklionsteuer —, gemäß der Anweisung der Steuerpächter Asklepiades und Zminis, unterschrieben vom Kontrolleur Ptolemaios — Horos der Sohn des Horos — für den Kauf der Sporteln des Onnophris und Horos, die zie beziehen für die Leichname in Thynabunun usf. namens der von ihnen besorgten Liturgien und die er von Onnophris kaufte um 3 Kupfertalente — den Steuerbetrag mit 900 Drachmen, macht 900. Lysimachos, Trapezit.

Das Schema ist also: 1) Zahlstelle, 2) Art der Steuer, 3) Bezeichnung des Zahlungsauftrags, 4) Name des Zahlers, 5) Angabe des versteuerten Kontraktes, 6) Steuerbetrag.

Col. I.

[1] Ἀντίγραφ[ον συ]γγραφῆς Αἰγυπτίας μεθηρμηνε[υ]μένης [2] κατὰ δύ[ναμιν].' [3] Ἔτους λς [Ἀθὺ]ρ ιη μετὰ τὰ κοινά. Τάδε λέγει χ[οα]χύτης [4] τῶν [Διοσπόλεω]ς τῆς μεγάλη[ς] Ὀννῶφρις Ὥρου [μ]ητρὸς [5] Σενποή[ριος ὡς (ἐτῶν)] μ εὐμεγέθης μελάγχρως κοιλ[ό]φθαλμος [6] ἀναφάλαν[τος] Ὥρωι Ὥρου μητ[ρ]ὸς Σενποήρι⟨ο⟩ς· Ηὐδόκησάς με [7] τῆς τιμ[ῆς το]ῦ ἡμίσους τοῦ [τρί]του λογείας τῶν κειμένων [8] νεκρῶν [ἐν] Θυναβουνοῦν ἐν τ[ῇ Λ]ιβύῃ τοῦ Περιθήβας [9] ἐν τοῖς Με[μνον]είοις, ὁμοίως καὶ ἡμίσους τοῦ τρίτου λειτουργιῶν [10] καὶ τῶν ἄλ[λων], ὧν τὰ ὀνόματα Ἰμούθης Σποτοῦτος σὺν [11] τέκνοις [καὶ πά]ντων, Χαποχράτης Νεχθμώνθου σὺν τέκνοις [12] καὶ πάντω[ν, Ἁ]ρσιῆσις Νεχθμώνθου, ὁμοίως Πετεμεστοῦς [13] Νεχθ[μώνθου], ὡσαύτως Ἁρσιῆσις Ζμίνιος, ὁμοίως [14] Ὀσορoῆρις [Ὥρου, ὁ]μοίως Σποτοῦς Χαποχώνσιος, ὡσ[α]ύτως [15] ζώγλυφ[ος ἀ]φ' ὧν ἐπιβάλλει Ἀσῶτι Ὥρου μητρὸς [Σε]νποήρι⟨ο⟩ς [16] τῶι νεω[τέρωι] σου ἀδελφῶι τῶν αὐτῶν χοαχυτῶν τὸ ἥμισυ [17] τοῦ προει[ρημέν]ου τρίτου μέρους λειτουργ⟨ι⟩ῶν καὶ καρπειῶν καὶ [18] [τ]ῶν ἄλλ[ων ... ἃ ἀ]πέδοτο αὐτῶι ἐν τῶι λς (ἔτει) [Ἀθ]ὺρ ἐπὶ βασιλέως [19] αἰωνοβίου [εἰς π]λήρωσιν τοῦ τρίτου καὶ τοῦ ἡμίσους καρπειῶν [20] καὶ τῶν ἄλλω[ν νεκ]ρῶν ἐν Θῦ Πατευτήμει σὺν τέκνοις καὶ [21] πάντων [καὶ ἡ]μίσους καρπειῶν ἐπιβαλλόντων μοι ἐν τοῖς [22] Πετεχώ[νσ]ιος γαλακτοφόρου καὶ τόπου Ἀσιῆτος καλουμένου [23] Φρεκαγήτο[υ] σὺν τῶν ἐν αὐτῶι

3 *μετὰ τὰ κοινά*: nach den üblichen Einleitungsformeln.

10—15 folgt die Aufzählung der den Choachyten zustehenden Leichen.

νεκρῶν ἀφ' ὧν ἐπιβάλλει 24 τῶι αὐτῶι Ἀ[σ]ῶτι τὸ ἥμισυ ἃ ἀπεδόμην αὐτῶι. Σά εἰσιν 25 καὶ ἔχω αὐ[τ]ῶν παρὰ σοῦ τὴν τιμὴν κοὐθέν σοι ἐγκαλῶ 26 περὶ αὐτῶν [ἀ]πὸ τῆς σήμερον· ἐὰν δέ τίς σοι ἐπέλθηι 27 περὶ αὐτῶν, ἀποστήσω αὐτόν, ἐὰν δὲ μὴ ἀποστήσωι, 28 ἀποστήσω ἐπάναγκον. Ἔγραψεν Ὧρος Φαβῖτος ὁ παρὰ τῶν 29 ἱερείων τ[οῦ] Ἀμονρασονθὴρ καὶ τῶν συννάων θεῶν μονο 30 γράφος· μά[ρτυ]ρες Ἐριεὺς Φατρέους, Πετεαρπρῆς Πατευτήμιος,

Col. II.

31 Πετεαρπ[ο]χράτης [Ὥρ]ου, Σναχομνεὺς Πετεύριος, Σναχομῆς 32 Ψενχών[σι]ος, Τοτ[ο]ῆς Φίβιος, Πόρτης Ἀπολλωνίου, Ζμῖνις 33 Πετεμεστοῦτος, Πετευτῆμις Ἁρσιήσιος, Ἀμονορταῖσις 34 Παχήμιος, Ὧ ος Χιμναραῦτος, Ἁρμῆνις Ζβενδήτιος, 35 Μαῆλις Μίρσιος, Ἀντ[ί]μαχος Ἀντιγένους, Πετοφῶις Φίβιος, 36 Πανᾶς Πετοσίριος γ(ίνονται) μάρτυρες ις.

37 Ἀντίγραφον πτώματος. Ἔτους λς Χοίαχ θ̄ τ(έτακται) ἐπὶ τὴν ἐν Διὸς πό(λει) 38 τράπεζαν, ἐφ' ἧς Λυσίμαχος, (εἰκοστῆς) ἐγκυ(κλίου) κατὰ διαγραφ[ὴ]ν Ἀσκληπιάδου καὶ 39 Ζμίνιος τελωνῶν, ἐφ' ἣν ὑπογρά(φει) Πτολεμαῖ[ος] ὁ ἀντιγρα(φεύς), Ὧρος Ὥρου 40 χοαχύτης ὠνῆς τῶν λογευομένων δι' αὐτῶν χάριν τῶν κειμένων 41 νεκρῶν ἐν Θυναβουνοῦν ἐν τοῖς Μεμνονείοις τῆς Λιβύης 42 τοῦ Περιθή(βας) τάφοις ἀνθ' ἧς ποιοῦνται λειτουργίας ἃ ἐωνήσατο 43 παρὰ Ὀννώφριος τοῦ Ὥρου χαλκοῦ (ταλάντων) γ τέ(λος) <δραχμὰς> (ἐνακοσίας) (γίνεται) Ͳ. 44 Λυσίμαχος τρα(πεζίτης).

43 Die Berechnung der ἐγκύκλιον-Steuer ist hier: $^1/_{20}$ von 3 Talenten (Kupfer) = 18000 Drachmen, also 900 Drachmen.

130. Ἔντευξις mit Bericht über eine Monographenurkunde. — 218 v. C. — Faijûm. (Vgl. S. 54 A. 1.)

P. Magd. 12 edd. Jouguet-Lefebvre.

Ein Pachtvertrag war geschlossen worden, und zwar wie ich nach dem Wort μονογράφωι l. 5 bestimmt annehme (anders P. Meyer, Klio 6, 457), in demotischer Sprache und Form. Wegen vorgerückter Stunde war er von den Parteien nicht mehr gesiegelt worden. Die Verpächter wollten nunmehr die Urkunde, obwohl sie noch nachträglich durch mündliche Übereinkunft anerkannt worden war, nicht nachsiegeln, und verjagten den Pächter vom Grundstück. Es deutet das darauf hin, daß man bei ägyptischen Verträgen dem Mangel der Siegelung durch die Parteien Bedeutung beilegte; wahrscheinlich galt erst sie als Perfektion des Vertrags.

1 [Βασιλεῖ Πτολεμαίωι χαίρειν Πετῶυς (40 Buchst.)] 2 Ἀδικοῦμαι ὑπὸ Λαχάρους κα[ὶ Ἀλ]εξάνδρου τοῦ υἱοῦ α[ὐ]τοῦ τῶν ἀπὸ τῆς [18 Buchst.]. 3 Συγγραψάμενο[ι] γάρ μοι συγγραφὴν μισθώσεως κατὰ τῶν κλήρων αὐτῶν ἐ[ν] τῶι Χοίαχ μηνὶ καὶ τῶν μαρτύρων ἐπιγρα 4 φέντων, συνέβ[η], ὑπὸ τῆς χώρας ἐκκλεισθέντας, ἀσφ[ρά]γιστον τεθῆναι αὐτὴν παρὰ Ζωπύρωι τῶι 5 μονογράφωι. Μετὰ δὲ ταῦτα, ταξάμενοί μοι ἐπὶ Διονυσίου δώσειν εἰς

σπέρμα πυρῶν (ἀρτάβας) ι[α], [6] ἐφ' ὧι ἀποδώσω αὐτοῖς ἡμιόλιον ἅμα τοῖς ἐκφορ[ί]οις, ἐμοῦ δὲ λαβόντος ια (ἀρτάβας) καὶ κατασπείραντος, παρήγαγόν με οὐ βουλόμενοι σφραγίσασθαι τὴν συγγραφήν. Ἐμοῦ δὲ ἐντυχόντος [8] κατ' αὐτῶν Στρατίωι τῶι ἐπιστάτηι οὐδένα λόγον ἐποιήσαντο, ἀλλὰ ἐγβεβλήκασί με [9] ἐκ τῶν κλήρων. Δέομαι οὖν σοῦ, βασιλεῦ, προστάξαι Διοφάνει τῶι στρατηγῶι γράψαι Στρα[10]τίωι τῶι ἐπιστάτηι, ἀποστεῖλαι αὐτοὺς ἐπ[ὶ] Διοφάνην διακριθησομένους μοι καὶ ἐὰν ἦι [11] ἀληθῆ, μὴ ἐπιτρέπειν αὐτοῖς ἐγβαλεῖν με ἐκ τῶν κλήρων, ἕως δὲ τοῦ διέξοδον λαβε[ῖ]ν [12] τὴν κρίσιν, μὴ θερίζειν αὐτούς. Τούτου γὰρ γενομένου ἔσομαι, βασιλεῦ, τῆς παρὰ σοῦ βοηθείας [13] τετευχώς. Εὐτύχει.

2te Hd. . . . . δρ . α . . . φηλι̣ . . ν . . . . .

Verso [1] (Ἔτους) δ' Δίου γ' Φαμενωθ κη'. [2] Πετῶυς τ[οῦ] . . . . τος [πρ(ὸς)] [3] Λα[χ]άρη[ν κ]α[ὶ Ἀλέξα]ν[δ]ρ[ον] [4] περὶ κλήρων.

Αὐρήλ(ιος) Παμοῦνις Κάστορος μητ(ρὸς) Ταύριος ὡς [(ἐτῶν)] | θ οὐλὴ ἀντικν(ημίῳ) ἀρισ|[τερῷ ἀφῆ][21]λιξ [κλ]ηρο(νόμος) τοῦ π[ρο]κ(ειμένου) ὑποχ̣ρ̣έ̣ο̣υ̣ μ̣ε̣τ̣έ̣λαβα̣ το[ύ]του τὸ ἴσον ἐνωπίῳ ὡς καθήκ(ει) λόγου μοι φυλασσομένου πρὸς τὴν προκ(ειμένην) Ἀρητοῦν περὶ ὧν ἔχω παντοίων καθ' ὅ̣ν[τινα]|οῦν τρόπον | δικ[αίων]. [22] (Ἔτους) [ι]γ'' Ἐπεὶφ ι̣—. Αὐρήλ(ιος) Σ̣[ι]λ̣βανὸς [Ἑρ]μίνο̣υ̣ ἔγρα(ψα) ὑπ(ὲρ) α[ὐ]τ(οῦ) φάσκ(οντος) μὴ εἰδ(έναι) γρά(μματα). Αὐρήλ(ιος) Ἑρμεῖνος ὑπη[ρ]έτης μετέδωκα [Αὐ]ρηλ(ίῳ) Ἀχιλλάμμων[[ος]]ι Ἑρμησίωνος γεωργῷ | [τ]ῷ [σ]υνοίκῳ κ̣α̣ὶ Α̣ὐ̣ρ̣(ηλίῳ) [23] Π[α̣μ]ο[ύ]ν⟨ε⟩ι Κάστ[ο]ρ̣ο̣[ς μητρὸς Τα]ύριος ἀφή̣[λικι κληρο]νόμῳ το[ῦ] δι' αὐτοῦ δηλ[ο]υμένου ὑποχρέου ἐνώπι[ον] ὡς καθήκει. (Ἔτους) ιγ'' Ἐπεὶφ' ιγ.

13 διὰ τὸ μὴ βιάζειν: weil die verpfändeten Aruren die Schuld nicht deckten (eig.: „bezwangen"). — In der Lücke vielleicht [κατοικ(ικὰς) ἀρούρας.

14 Hier wird erwähnt, daß außer dem ὑπάλλαγμα noch ein Hausanteil der Schuldner gepfändet worden ist (pignus in causa iudicati captum). Interessant ist, daß die Gläubigerin auch infolge dieses Pfändungspfandrechts das Eigentum erlangt haben will: dies entspricht nicht der Regel — die hier vielmehr Verkauf vorschreibt —, ist aber doch für den Fall, daß sich ein Käufer nicht findet, den römischen Quellen bekannt (Dernburg, Pfandrecht 2, 255). — α(ὐτῆς) M.

15 φ . . . das Original scheint φύσι zu haben. Dies müßte bedeuten: das wirkliche Kapital + Zinsen.

19 Zu Ἡρώδου vgl. Vitelli Anm. zu l. 1.

22 τῷ, καὶ Αὐρ(ηλίωι) M.

242. Beglaubigung der Abschrift eines Statthalterreskripts, betreffend eine Dotalforderung mit Pfandrecht, wahrscheinlich *ὑπάλλαγμα*. — 177 n. C. — Faijûm.

BGU 970 ed. Wilcken. Nachtr. von Schubart in den Nachtr. zu BGU III.
Lit.: Wilcken, Arch. 4, 373; Weiß, Pfandr. Unters. 1, 88 fg

Es liegt eine *μαρτυροποίησις* über den Inhalt einer *ὑπογραφή* des Praefectus Aegypti vor. Die *ὑπογραφή* des Statthalters wird, wie es auch bei den kaiserlichen Reskripten geschieht, dem Petenten regelmäßig nicht sofort bei der Überreichung seines *ὑπόμνημα*, sondern erst später mitgeteilt, und zwar erfolgt dies (vgl. oben S. 39) im Weg des Aushangs (propositio, daher hier *προτεθέντων* l. 5), wofür die Inschrift von Skaptoparene (dazu Mommsen, Jur. Schr. 2, 172 fg.) die beste Parallele bildet. Der Supplikant nimmt sonach von der proponierten Subscriptio unter Zuziehung von Zeugen (*μαρτυροποίησις* l. 3) eine durch diese beglaubigte Abschrift; dabei wird auch der Originallibell mit kopiert, auf dem die Subscriptio steht.

Diese ist nicht erhalten, um so wertvoller ist der Inhalt der großenteils erhaltenen Kopie des Libells. Tapetheus war mit dem (verstorbenen) Limnaios verehelicht gewesen, und er hatte ihr für die ihm zugebrachte *προίξ* das Recht eingeräumt '*λαβεῖν τὸ ὑπάρχον αὐτῷ . . . μέρος . . . οἰκίας κτλ.*' Das war wahrscheinlich ein *ὑπάλλαγμα*, keine *ὑποθήκη*; obwohl eine technische Bezeichnung für die Verpfändungsart in dem Papyrus überhaupt nicht gebraucht wird, deutet doch auf ersteres die beim *ὑπάλλαγμα* auch sonst auftauchende Erwähnung von *ξενικῶν πράκτωρ* und *ἐνεχυρασία*.

Nach dem Tode des Mannes machte Tapetheus den Schuldschein (ein Chirographum) gegen seine Schwester und Erbin geltend, und zwar, wie das *μεταδοῦναι* und die *ἀντίρρησις* (l. 22. 25) zeigen, im Weg des Mahnverfahrens. Einen gleichfalls die Ehe betreffenden Parallelfall deutet Oxy. 906, 8/9 an. Das entspricht der Tatsache, daß wir auch in den Mitgiftverträgen stets die Exekutivklausel finden.

Zweifelhaft ist, in welchem Stadium des Mahnverfahrens wir stehen. Die Beklagte hat eine *ἀντίρρησις* erstattet; war das *ἀντίρρησις* gegen das erste *διαστολικόν* oder gegen die *ἐνεχυρασία*? Lin. 25/6 deuten mehr auf das letztere; doch ist der Papyrus hier zu sehr zerstört, um ein sicheres Urteil zu ermöglichen.

Zur *πρωτοπραξία* (l. 11) vgl. Ed. Tib. Jul. Alexandri (CIG 4957) l. 26 fg.; Mitteis, Röm. Priv.-R. 1, 371 fg.; Weiß a. O. 88 fg.

Laut l. 18 war die Witwe bei der Verpfändung verpflichtet worden, einem Gläubiger des Mannes aus dem Pfand seine Forderung auszubezahlen. Daß man daraus auf die Zulassung einer Mehrheit von Pfandrechten an derselben Sache schließen darf, nehme ich nicht an (vgl. S. 150 A. 1).

[1]Ἔτους ἑπτακαιδεκάτου Αὐτοκρατόρων Καισάρων Μάρκου Αὐρη(λίου) Ἀντωνείνου Σεβ[αστοῦ] [2]καὶ Λουκίου Αὐρηλίου Κομόδου Ἀρμενιακῶν Μηδικῶν Παρθικῶν Γε(ρ)μανικῶν Σαρ[ματικῶν] [3]Μεγίστων Φαρμοῦθι β. Ταπεθεὺς Πτολεμαίου τοῦ Ζηνᾶ ἐμαρτυροποιήσατο ἐκγεγρά[φθαι] [4]καὶ

3 Zu *ἐκγεγράφθαι καὶ προσαντιβεβληκέναι* vgl. Oxy. 35 R. 9/10.

προςαντιβεβληκέναι ἐκ τεύχους βιβλειδίων Τίτου Πακτουμηίου Μάγνου
Ἰουλιοπόλει διαλογιζομένου
ἐπ[άρχου] [5] Αἰγύπτου προτεθέντων σὺν ἑτέροις ἐν ⟦τῷ παλαιῷ⟧, ἐν ᾧ βι-
τοῦ κρατίστου ἡ[γε]μόνος
βλιδίῳ ἐνγεγραμμένα ⟨ἦν⟩ τὰ ὑπογ[εγραμμένα·]

[6] *Τίτῳ Πακτουμηίῳ Μάγνῳ ἐπάρχῳ Αἰγύπτου παρὰ Ταπεθέως Πτολεμαίου τοῦ Ζην[ᾶ]* [7] *ἀπὸ κώμης Καρανίδος τῆς Ἡρακλείδου μερίδος τοῦ Ἀρσινοίτου. Τῆς εἰς ἅπαντας* [8] *εὐεργεσίας, ἡγεμὼν μέγιστε, καὶ αὐτὴ γυνὴ ἀβοήθητος καὶ μηδεμίαν βοή[θει]α[ν]* [9] *ἔχουσα εἰ μὴ ὑπὸ σοῦ τοῦ κυρίου τὴν ἐπὶ σὲ καταφυγὴν ἐποιησάμην. Τὸ δὲ πρᾶγ[μα]* [10] *ἔχει οὕτως· Πάντων τῶν κυρίων ἡμῶν αὐτοκρατόρων καὶ τῶν κατὰ καιρὸν ἡγεμόν[ων]* [11] *κελευσάντων πρωτοπραξίαν ἔχειν τὰς προοῖκας, ἐγὼ μόνη παρὰ τὰ διατεταγμένα* [12] *ὑπὸ τῆς τοῦ ἀνδρός μου Λιμναίου ἀδελφῆς Ἑ[λ]ένης ἱκανῶς διετέθην ἐναντιουμένης* [13] *τοῖς καθολικῶς διατεταγμένοις. Ὁπηνίκα γὰρ συνηρχόμην τῷ προγεγραμμένῳ μ[ου]* [14] *ἀνδρὶ Λιμναίῳ τῷ ιε (ἔτει) θεοῦ Αἰλ(ίου) Ἀντωνείνου, προςηνενκάμην αὐτῷ προοῖκα ἐν δραχμαῖς ἐν*[15]*ακοσίαις, δηλωθέντος δι' ἧς προείθη μοι ἀσφαλείας, ἐὰν γένηται μὴ εὐτονῆσαι αὐτὸν [ἀ]*[16]*ποδοῦναί μοι τὴν προοῖκα, λαβεῖν με τὸ ὑπάρχον αὐτῷ ἐν τῇ προγεγραμμένῃ Καραν[ίδι]* [17] *δίμοιρον μέρος πατρικῆς οἰκίας καὶ αὐλῆς καὶ χορτοθήκης καὶ ἐκ τοῦ πρὸς ἀπηλ[ιώ]*[18]*την μέρους ψειλὸν τόπον, δηλωθέντος διὰ ⟪αὐ⟫τῆς αὐτῆς ἐνγράφου ἀσφαλείας ἀποδώσειν* [19] *με Σισόιτι δανιστῇ αὐτοῦ ἐπὶ τοῖς προκειμένοις δραχμὰς ἑκατόν. Ἐπεὶ οὖν οὗτος* [20] *μὲν μετήλλαξεν, ἐ[γὼ] δὲ ἀπέδωκα τὰς δρ[αχ]μὰς ἑκατὸν καὶ ἔσχον ἀποχήν, ἐδημήω*[21]*σ' αὐτὸ τὸ δηλούμενον τοῦ ἀνδρός μου χειρ[όγρα]φον τῷ ιδ (ἔτει) τοῦ κυρίου ἡμῶν Αὐτοκράτορος* [22] *Αὐρ(ηλίου) Ἀντωνείνου καὶ μετέδωκα τῇ τούτου ἀ[δελ]φῇ καὶ κληρονόμῳ τῇ προγεγραμμένῃ⟪ς⟫* [23] *λέγ[ου]σα· Εἴη μὲν οὖν αὐτὴν ἀκολούθως ταῖς ἡγεμονικαῖς καὶ αὐτοκρατορικαῖς διατάξε*[24]*σιν εὐγνωμ[ο]νεῖν καὶ ἢ ἀποκαταστῆσαί μοι τὰ ὑπάρχοντα ἢ τὸ ἀργύριον ἀποδῶναι.' Ἡ [δ]ὲ ἐτόλ*[25]*μησεν μεταδῶναί μοι ἀντίρρησιν δι' ἧς ἐνε . . . . τινα πρὸς τὴν ἰδίαν ἐπιθυμίαν. Ἄχ[ρι]* [26] *δὲ οὗ [ἂν? τὰ?] ἑξῆς ἐπιτελῶ διὰ τοῦ ξενικῶν πράκτ[ορος .] . . [. .] υ . . . . η παρεκόμισα ἐνεχυ[ρ . .*

Folgen noch Reste von 7 zerstörten Zeilen. Schluß abgebrochen.

5 Zu *Ἰουλιόπολις* vgl. Wilcken a. O. und Arch. 1, 130 A. 4. — 8 l. *εὐεργεσίας ⟨δεομένη⟩*. — 20/1 l. *ἐδημοσίωσα αὐτό*.

5. ΥΠΟΘΗΚΗ.

243. Bestellung einer *ὑποθήκη* für ein Darlehen. — 153 n. C. — Hermupolis. (Vgl. S. 142 fg.)

P. Flor. 1 ed. Vitelli (ed. princeps in Atene e Roma 1901 p. 73 fg.).

Lit.: Costa, Bull. dell' ist di dir. Rom. 14, 47; memorie (oben S. 129) p. 217 fg.; Naber, Mnemos. 32, 83 sq. und die allgemeine Pfandr.-Lit.

Ein sehr vollständiger Hypothezierungsvertrag in Form einer Homologie mit angeschlossener unselbständiger Bank-*διαγραφή*. Ein ebenso vollkommenes und bis in die Einzelheiten des Stils übereinstimmendes Parallelstück ist Straßb. 52, gleichfalls aus Hermupolis.

A.

[1]Ἔτους ἑκκαιδεκάτου Αὐτοκράτορος Καίσαρος Τίτου Αἰλίου Ἁδριανοῦ Ἀντωνίνου Σεβαστοῦ Εὐσεβοῦς μηνὸς Ἀρτεμεισίου Φαμενὼθ (2te H.) *κη* (1te H.) *ἐν Ἑρμοῦ πόλει τῇ μεγάλῃ. Ἐδάνισεν Ἑρμιόνη Εὐδαίμονος ἀστὴ ὡς* (*ἐτῶν*) (2te H.) *ιθ* (1te H.) *μετὰ κυρίου τοῦ ἑαυτῆς πατρὸς [2]Εὐδαίμονος Σαραπίωνος τοῦ Διονυσίου Σωσικοσμίου τοῦ καὶ Ἀλθαιέως ὡς* (*ἐτῶν*) (2te H.) ξζ *βεβλ(αμμένου) τὸ(ν) ἀρισ(τερὸν) ὀφθ(αλμὸν)* (1te H.) *Πτολεμᾷ τῇ καὶ Τβήσει Ὡρίων[ο]ς τοῦ Ἑρμίου μητρὸς Δημητρίας τῆς καὶ Τερεῦτος Ὡρίωνος Ἑρμοπολείτιδι ἀναγραφομένῃ ἐπὶ φρου[ρ]ίου λιβὸς ὡς* (*ἐτῶν*) (2te H.) *λ ο(ὐλὴ) μετ(ώπῳ) μέσ(ῳ)* (1te H.) *μετὰ κυρίου τοῦ πατρὸς [3]Ὡρίωνος Ἑρμίου ὡς* (*ἐτῶν*) (2te H.) *νδ ο(ὐλὴ) μετ(ώπῳ) ἐξ ἀρισ(τερῶν)* (1te H.) *ἀργυρίου σεβαστοῦ νομίσματος κεφαλαίου δραχμὰς διακοσίας ἃς ἀνείρηται ἡ δεδανισμένη παρὰ τῆς δεδανικυίης δι' ἐπιτηρητῶν τραπέζης τόκου δραχμιαίου ἑκάστης μνᾶς κατὰ μῆνα ἕκαστον ἀπὸ τῆς ἐνεστώσης ἡμέρας ἐπὶ μῆνας εἰκοσιτέσσαρας συναγο-[4]μένων τοῦ τόκου δραχμῶν τεσσεράκοντα ὀκτὼ πάσας ἐφ' ὑποθήκῃ τῷ ὑπάρχοντι τῇ δεδανισμένῃ λοιπῷ βείκῳ ἑνὶ τετάρτῳ ἀπὸ ἐλαιουργίου ἀργοῦ καὶ καμάρας καὶ αὐλῆς καὶ ἀνηκόντων πάντων ἐν κώμῃ Τεκερκεθώθει τοῦ Λευκοπυργείτου κάτω μετὰ τοὺς πεπραμένο[υ]ς ἐκ τῶν αὐτῶν τόπων· γείτονες δὲ ὡς ἡ δεδα-*
5 *[5]νισμένη ὑπηγόρευσεν νότου δημοσία ῥύμη δι' ἧς εἴσοδος καὶ ἔξοδος, βορρᾶ κληρονόμων Παθώτου Φίβιος, ἀπηλιώτου ὁδὸς, λιβὸς Δημητρίας τῆς καὶ Τερεῦτος Ὡρίωνος. Τὸ δὲ δάνιον τὰς τοῦ κεφαλαίου καὶ τόκου ἀργύριου δραχμὰς διακοσίας τεσσεράκοντα ὀκτὼ ἀποδότω ἡ δεδαν[ι]σμένη τῇ δεδανικυίῃ ἢ τοῖς παρ' αὐτῆς πλ[η]ρω-[6]θείσης τῆς διετίας παραχρῆμα ἀργύριον δόκιμον νομειτευόμενον ἀρεστόν· ἐὰν δὲ μὴ ἀποδοῖ τῆς προθεσμίας ἐνστάσης, εὐθέως ἐξέστω τῇ δεδανικυίῃ ἢ τοῖς παρ' αὐτῆς, μὴ προσδεομένοις ἀνανεώσεως ἢ διαστολικοῦ ἢ ἑτέρου τινὸς ἁπλῶς ταξαμένοις τὰ εἰς τὸ ἐνκύκλιον καθήκοντα τέλη, ἐπικαταβολὴν ποιήσα[σθ]αι [7]τοῦ ὑποτεθειμένου ὡς πρόκειται βείκου ἑνὸς τετάρτου καὶ κτᾶσθαι αὐτὴν καὶ τοὺς παρ' αὐτῆς τοῦτο⟨ν⟩ κυρίως ἀντὶ τῶν [ὀ]φει[λομ]έ[ν]ων καὶ ἐμβαδεύειν εἰς αὐτὸν καὶ εἰσοικίζειν καὶ ἐνοικολογεῖν καὶ διαμισθοῦν καὶ ἀποφέρεσθαι τὰ ἐξ αὐτοῦ περιεσόμενα πάντα εἰς τὸ ἴδιον, ἔτι δὲ καὶ χρᾶσθαι καὶ οἰκονομεῖν περὶ αὐτοῦ καθ' ὃν [8]ἐὰν αἱρῶνται τρόπον ἐπὶ τὸν ἅπαντα χρόνον μηδενὸς τῇ δεδανισμένῃ μηδ' ἄλλῳ ὑπὲρ αὐτῆς ἐξ ὑστέρου ἁπλῶς πε[ρ]ὶ τούτου καταλειπομένου λόγου ἢ παρευρέσεως· βεβαιούτω δὲ ἡ δεδανισμένη τήνδε τὴν ὑποθήκην πάσῃ βεβαιώσει ἀπό τε*

4 *βεῖκος* (*βῖκος*) ist ein nicht näher bekanntes Flächenmaß; vgl. Petr. 3, 65b; BGU 115, 15; 1047 III 5; Oxy. 100, 10.

δημοσίων καὶ ἰδιωτικῶν καὶ ἀπὸ πάντων ἁπλῶς ἣν καὶ μὴ ἐξέστω [α]ὐτῇ [9] *πωλεῖν μηδ' ἑτέροις ὑποτίθεσ[θ]αι μηδ' ἄλλο τι περὶ αὐτῆς κακοτεχνεῖν ὑπενάντιον τούτοις τρόπῳ μηδενὶ ἢ τὰ παρὰ ταῦτα ἄκυρα εἶναι· ἐὰν δέ τις κίνδυνος [γ]ένηται περὶ τήνδε τὴν ὑποθήκην πᾶσαν ἢ μέρος τρόπῳ ᾡτινιοῦν, ἀποδότω ἡ δεδανισμένη τῇ δεδανικυίῃ ἢ τοῖς παρ' αὐτῆς τὰ ὀφειλόμενα πάντα καὶ τοῦ ὑπε[ρ]πε*[10]*σόντος μετὰ τὴν προθεσμίαν χρόνου τόκον δραχμιαῖον ἑκάστης μνᾶς κατὰ μῆνα ἕκαστον καὶ ἃ ἐὰν ἀπαιτηθῇ ἡ δεδανικυῖα ὑπὲρ τῆσδε τῆς ὑποθήκης τέλη καὶ ἃς ἐὰν ποιήσηται δαπάνας, ὁμοίως σὺν τόκοις ἕκαστα παραχρῆμα, γεινομένης αὐτῇ ἢ τοῖς παρ' αὐτῆς τῆς πράξεως παρά τε τῆς δεδανισμένης καὶ ἐκ [τ]ῆσ*[11]*δε τῆς ὑποθήκης καὶ ἐκ τῶν ἄλλων ὑπαρχόντων αὐτῇ πάντων καθάπερ ἐκ δίκης. Ἡ συνγραφὴ κυρία καὶ συνεχρηματίσθη ἡ δεδανισμένη ἐπιστειλάντων τῶν τῆς ἐγκτήσεως βιβλιοφυλάκων.* (3te H.) *Πτολε[μ]ὰ ἡ καὶ Τβῆσις Ὡρίωνος μετὰ κυρί[ου] τοῦ ἐμαυτῆς πατρὸς Ὡρίωνος Ἑρμίου δεδάνισμαι παρὰ Ἑρμιόνης* [12] *Εὐδαίμονος ἀργυρίου κεφαλαίου δραχμὰς διακοσίας ἃς ἀνείρημαι δι' ἐπιτη[ρ]ητῶν τραπέζης τόκου δραχμιαίου ἑκάστης μνᾶς κατὰ μῆνα ἕκαστον ἀπὸ τῆς ἐνεστώσης ἡμέρας ἐπὶ μῆνας εἰκοσιτέσσαρες συναγο[μέν]ων τοῦ τόκου δραχμῶν τεσσεράκοντα ὀκτὼ πάσας ἐφ' ὑποθήκῃ τῷ ὑπάρχοντί μοι λοιπῷ βείκῳ ἑνὶ* [13] *τετάρτῳ ἀπὸ ἐλαιουργίου ἀργοῦ καὶ καμάρας καὶ αὐλῆς καὶ ἀνηκόντων πάντων ἐν κώμῃ Τεκερκεθώθει τοῦ Λευκοπ[υργείτο]υ κάτω μετὰ τοὺς πεπραμένους τῶν αὐτῶν τόπων ἐπὶ ταῖς προκειμέναις γιτνίαις· το[ύτο]ụ τοῦ κεφαλαίου καὶ τόκου ἀργυρίου δραχμὰς διακοσίας τεσσεράκοντα ὀκτὼ ἀποδώσω πληρωθείσης τῆς διετί*[14]*ας καὶ βεβαιώσω καὶ εὐδοκῶ πᾶσι τοῖς προγρα(φεῖσιν). Ἑρμεῖνος Ἡρώδου ἔγρα(ψα) τὸ σῶμα τῆς ὑπογρα(φῆς).* (4te H.) *Πτολεμὰ ἡ καὶ [Τ]βῆσις Ὡρίωνος δεδάνισμαι καθὼς πρόκιται. Ὡρίων Ἑρμίου ⟪Ἑρμίου⟫ ἐπιγέγραμμαι τῆς θυγατρός [μ]ου* [15] *κύριος καὶ ἔγραψα ὑπὲρ αὐτῆς μὴ ἰδυίης γράμματα.* (5te H.) *Ἑρμί[ονη] Εὐδαίμονος ἀστὴ εὐδοκῶ. Εὐδαίμων Σαραπίωνος Ἀλθαιεὺς ἐπιγέγραμμαι τῆς θυγατρός μου κύριος καὶ ἔγραψα ὑπὲρ αὐτῆς μὴ εἰδυίης γράμματα.* (2te H.) *Διὰ Εὐδαί*[16]*μον[ο]ς Ἑρμαίου κεχρημάτισται ἐπιτηρου[μ]ένης τῆς ἀγο(ρανομίας)* ><><><

B.

[17] (6te H.) *Ἔτους ἑκκαιδεκάτου Αὐτοκράτορος Καίσαρος Τίτου* [18] *Αἰλίου Ἁδριανοῦ Ἀντωνείνου Σεβαστοῦ Εὐσεβοῦς Φαμενὼθ ιη.* [19] *Διαγρ(αφὴ) δι' ἐπ(ιτηρητῶν) τραπ(έζης). Ἑρμιόνη Εὐδαίμονος ἀστὴ μετὰ κυρίου τοῦ πατρὸς* [20] *Εὐδαίμονος Σαραπ(ίωνος) Πτολεμᾷ τῇ καὶ Τβήσι Ὡρίωνο(ς) τοῦ Ἑρμίου* [21] *μητ(ρὸς) Δημητρίας τῆς καὶ Τερεῦτος Ὡρίωνο(ς) ἀναγρα(φομένῃ) ἐπὶ φρο(υρίου) λιβὸς* [22] *μετὰ κυρίου τοῦ ἑαυτῆς πατρὸς Ὡρίωνο(ς) Ἑρμίου ἀργ(υρίου) κεφαλ(αίου) (δραχμὰς) διακοσίας* [23] *(γίνονται) ἀργ(υρίου) (δραχμαὶ) (διακόσιαι) ἀκολ(ούθως) τῇ ἀṇενεχθ(ησομένῃ) δι' ἀγọ(ρανομίου) ἐν Ἑρμοῦ πόλει δανείο(υ) ὑποθήκ(ῃ)* [24] *τοῦ ὑπάρχ(οντος) αὐτῇ*

λοιποῦ βείκου ἑνὸς τετάρτου ἀπὸ ἐλαιουργίου ἄρκου [25] *καὶ καμάρας καὶ αὐλ(ῆς) καὶ ἀνηκόντων πάντ(ων) ἐν κώμῃ Τεκερκεθώθ(ει).* [26] (7te H.) *Βησαρίων ὁ κ(αὶ) Εὐδαί(μων) ἐπιτηρητ(ὴς) σεση(μείωμαι).* [27] (3te H.) *Πτολεμὰ ἡ καὶ Τβῆσις Ὡρίωνο(ς) τοῦ Ἑρμίο(υ) μητ(ρὸς) Δημητρ(ίας) τῆς* [28] *καὶ Τερεῦτ(ος) Ὡρίω(νος) Ἑρμοπ(ολεῖτις) ἀναγρ(αφομένη) ἐπὶ φρο(υρίου) λιβὸς μετὰ κυρίου τοῦ πατρὸς* [29] *[Ὡ]ρίωνος Ἑρμίου ἐπη[κ]ολούθηκα τῇ προκ(ειμένῃ) διαγρα(φῇ) καὶ ἔχω χρῆσιν* [30] *κεφαλ(αίου) ἀργ(υρίου) (δραχμὰς) διακοσίας (γίνονται) ἀργ(υρίου) (δραχμαὶ) (διακόσιαι) ἀκολούθως τῇ ἀνενεχθησο*[31]*μένῃ δι' ἀγο(ρανομίου) ἐν Ἑρμοῦ πόλει δανείο(υ) ὑποθήκῃ τοῦ ὑπάρχοντός μοι* [32] *λοιποῦ βείκου ἑνὸς τετάρτου ἀπὸ ἐλαιουργίου καὶ καμάρας καὶ αὐλ(ῆς)* [33] *καὶ ἀνηκόντ(ων) ἐν κώμῃ Τεκερκεθώθει τοῦ Λευκοπυργείτου* [34] *κάτω ὡς πρόκ(ειται). (Ἔτους) ις Αὐτοκράτορος Καίσαρος Τίτου Αἰλίου Ἁδριανοῦ* [35] *Ἀντωνίνου Σεβαστοῦ Εὐσεβοῦς Φαμενὼθ κη. Ἑρμεῖνος* [36] *Ἡρώδ(ου) ἔγρα(ψα) τὸ σῶμα τῆς ὑπογρα(φῆς).* (1te H.) *Πτολεμὰ ἡ καὶ Τβῆ*[37]*σις Ὡρίωνος ἔχω ὡς πρόκιται.* [38] *Ὡρίων Ἑρμίου ἐπιγέγραμμαι* [39] *τῆς θυγατρός μου κύριος καὶ* [40] *ἔγραψα ὑπὲρ αὐτῆς μὴ ἰδυίης* [41] *γράμματα.*

244. Hypothekbestellung unter Römern durch *συγχώρησις*. — 143/4 n. C. — Faijûm. (Vgl. S. 130. 145.)

BGU 741 ed. Wilcken. Nachtr. von Gradenwitz, Einführ. 24 fg. und in den Nachtr. von BGU III.

Lit.: Gradenwitz a. O. 89 fg.; Schubart, Arch. 5, 55; Rabel, Verfüg.-Beschr. 28. 67; Manigk, Sav. Z. 30, 290; De Ruggiero, Il divieto d'alien. 21 fg.

Dieser Papyrus hat in der Geschichte der Papyrologie die doppelte Bedeutung, eins der ältesten — ursprünglich natürlich unverstandenen — Beispiele der *συγχώρησις*-Urkunde und gleichzeitig der Hypothezierung zu sein. In letzterer Hinsicht bietet er mehrere beachtenswerte Klauseln, so die der Personalhaftung des Schuldners für das *ἐλλεῖπον* und den *κίνδυνος τῆς ὑποθήκης*, ferner die, daß das Pfand auch für eine zweite Forderung desselben Gläubigers haftet; vgl. oben S. 154 fg.

Da die Kontrahenten beide Römer sind, ist auch daran gedacht worden, ob nicht Verkaufshypothek vorliegt, statt wie gewöhnlich Verfallspfand. Dafür könnte man allenfalls das '*πρὸς οὗ τι ἂν βαστάζῃ*' in l. 29 anführen Aber unrömisch klingt jedenfalls, daß die Personalhaftung nur für das *ἐλλεῖπον* ausdrücklich formuliert wird.

[1] *Ἀντίγραφον. Εὐδαίμονι τῶν κεκοσμητευκότων* [2] *ἱερεῖ ἀρχιδικαστῇ καὶ πρὸς τῇ ἐπιμελ[εί]ᾳ τῶν χρη*[3]*ματιστῶν καὶ τῶν ἄλλων κριτηρίω[ν]* [4] *παρὰ Λουκίου Οὐαλερίου Ἀμμωνιανο[ῦ ἀ]κταρίου σπεί*[5]*ρης ὁπλοφόρων πολιτῶν Ῥωμαίων ἑκατονταρχίας* [6] *Ἀπολιναρίου καὶ παρὰ Κοίντου Γελλίου Οὐάλεντος στρα*[7]*τιώτου κλάσσης Ἀούστης Ἀλεξανδρε[ίν]ης λιβύρνου* [8] *Λούππας. Συνχωρῖ ὁ Κοίντος Γέλλιος Οὐάλης εἰληφέ*[9]*ναι παρὰ τοῦ Λουκίου Οὐαλερίου Ἀμμων[ιανο]ῦ δάνειον* [10] *διὰ τῆς Ἀνδρονείκου τοῦ*

Ἀφ[ρ]οδισίου [κολλ]υβιστικῆς 11 τραπέζης ἀργυρί[ο]υ Σεβαστοῦ νομίσμ[ατ]ος δραχμὰς 12 ὀκτακοσίας τό[κ]ων δραχμιαίων [τ]ῆς μνᾶς ἑκάσ 13 της τοῦ μηνὸς ἑκ[ά]στου εἰς μῆνας ὀκτὼ [ἀ]πὸ 14 μηνὸς Σεβαστοῦ [Εὐσ]εβείου τοῦ ἐνεστῶτος [ἑβ]δό 15 μ[ου ἔ]τους Ἀντω[νίν]ου Καίσαρ[ος] τοῦ κυρί[ου ἐφ'] 16 ὑ[πο]θήκῃ [.]ṭ . . [. . . . .]εραις δ . [. . . . .] 17 ṭọ[. .] . [. . .]ε . .] . π̣ε[.] . δ̣ερ[. . . . τῆς Ἡ]ρ[ακ]λ[εί] 18 δ[ο]υ μερίδος ε[.]η[. . .]λε . [. . .]ṭῶν ἑβδομή[κ]οντα 19 [π]έντ' ἀρουρῶν ὧ[ν γίτο]νε[ς κα]θὼς ὑπηγόρε[υ]σαν 20 ν[ότ]ῳ Ἀμα[δόκου (?) τοῦ Πτ]ο[λε]μαίου καὶ ὀνόματο(ς) (?) 21 [.] . . ιτος, βορρ[ᾶ . .]ṿ . ρος καὶ βασιλικὴ γῆ, ἀπηλιώ 22 τῃ βασιλικὴ γῆ, λ[ι]βὶ Λ[ο]υγγ[ίν]ου κλῆρος, ἐπάναγκον 23 [τ]ὸν Κοίντος Γέ[λλι]ον Οὐ[ά]λεντα [ἀ]ποδῶ[ν]αι τῷ 24 [Λ]ουκίῳ Οὐα[λερί]ῳ Ἀμμωνια[νῷ.] κ̣ . . . ευ 25 ἀργυρίου δραχ[μ]ὰς ὀκτ[α]κοσία[ς ἐν τ]ῷ προκ[ει] 26 μένῳ χρόνῳ, τὸν δὲ τ[ό]κον κ[ατὰ] μῆνα ἕκ[α]σ 27 τον. Ἐὰν δὲ μὴ [ἀ]ποδοῖ, [ἐ]ξεῖναι τῷ Λουκίῳ Οὐαλε 28 ρίῳ Ἀμμωνιανῷ ἐπι[τ]ελεῖν τὰ κατὰ τῆς ὑ 29 ποθήκης νόμιμα πρ[ὸ]ς οὗ τι ἂν βαστάζ[η] καὶ 30 τοῦ ἐνλείψοντος γείνεσ[θ]αι αὐτῷ τὴν πρᾶξιν 31 ἐκ τῶν ἄλλων τοῦ ὑ[πο]χρέου ὑπαρχό[ν]των, 32 καὶ ἐάν, ὃ μὴ γείνοι[το], συμβῆ κίνδυνόν τινα 33 περὶ [τὴ]ν ὑποθήκην [ἢ μέ]ρος αὐτῆς ἐπακο[λ]ου 34 θῆσ[αι], καὶ οὕτως γείν[ε]σθαι τῷ δεδαν[ει]κότι 35 τὴν π[ρᾶ]ξιν καθὼς κα[ὶ ἐ]πὶ τοῦ ἐνλίμματ[ος] δε 36 δήλωται, παρέχεσθαι δὲ αὐτὸν τὴν [ὑπ]οθή- 37 κην καθαρὰν καὶ ἀνέπαπον καὶ ἀνεπιδά 38 νειστον ἄλ[λ]ου δαν[είου] καὶ πάσ[η]ς ὀφειλ[ῆς κ]αὶ 39 μηδένα αὐτῆς ἐμποιούμενον τρόπ[ῳ μη] 40 δεν[ί], μὴ ἐλ[α]ττουμένου τοῦ Οὐαλερ[ίου] 41 Ἀμμωνιαν[ο]ῦ [π]ερὶ ὧ[ν ἄ]λλ[ω]ν [ὀ]φ[ε]ί[λ]ι αὐτῷ δ 42 αὐτὸ[ς Γ]έλλι[ος] Οὐάλης [κ]αθ' ἑτέρ[α]ν συνχώρησιν 43 τῷ [διε]ληλ[υθ]ότι ἔτει μηνὶ Και[σ]α[ρ]είῳ ἄ[λλ]ων 44 ἀργυ[ρ]ίου δραχμῶν [τετ]ρακοσ[ί]ων [ἑξήκο]ν 45 τα καὶ τόκων καὶ οὐ [. .] . εται τήνδε τὴν ὑπο[θή]κην, 46 εἰ μὴ πρότερον ἀποδο[ῖ κ]αὶ τὰς κατὰ τ[ὸ συνάλ]λα- 47 γμα δραχμὰς τετ[ρα]κοσίας ἑξήκοντα καὶ τό 48 κο[υς] διὰ τὸ ἀλλη[λέγ]γυα εἶναι. Ἔτους ἑ[β]δόμου 49 Αὐ[το]κράτορος Καί[σαρ]ος Τίτου Αἰλίου Ἀδ[ρι]ανοῦ 50 Ἀντωνείνου Σε[βα]στοῦ Εὐσεβοῦς μη[ν]ὸς 51 Σεβ[α]στοῦ Εὐσεβ[είο]υ ῑς̄.

23 l. Κοίντον.
29 l. πρὸς ὅ τι.
45 Ob [λύ]σεται? M. [ἔ]ξεται ausgeschlossen.

245. Bestellung einer ὑποθήκη für ein Darlehen. — Zeit des Hadrian. — Faijûm. (Vgl. S. 149.)

P. Bas. Inv. Nr. 7 l. 17—25 ed. Rabel, Verfügungsbeschr. S. 103 fg.

Der Vertrag, von dem hier nur der unmittelbar interessierende Teil abgedruckt wird, enthält eine Hypothezierung für ein Darlehen. Das Wichtigste an ihm ist, daß dem Anschein nach neben der Hypothek die volle Personalhaftung aufrecht bleibt. Diese Tatsache ist diejenige, welche das derzeit beträchtlichste Bedenken gegen die grundsätzliche Unterscheidung von Hypothek und Hypallagma darstellt.

Übrigens ist die Ergänzung des entscheidenden Passus keineswegs sicher. Der Hg. ergänzt hier (l. 23/4): *μενούσης κυρίας [τῆς ὑποθήκης, γενομένης δὲ τῷ Πακύσι τῆς πράξεως ἔκ τε τῆ]ς κτλ.* Ich halte hier den Anfang der Konjektur nicht für ansprechend; näher liegt *κυρίας* irgendwie mit *τῆς πράξεως* zu verbinden.[1]) Von der Möglichkeit, daß der ganze Passus sich auf eine andere Forderung bezieht oder auf das *ἐλλεῖπον*, wage ich nicht zu reden. Aber schon mit Rücksicht auf diese Möglichkeit ist eigentlich das oben genannte Bedenken nicht einmal objektiv gesichert.

Ungewöhnlich ist übrigens der Ausdruck *διαστολὴ καὶ ἐπανγελεία* l. 18, der vermutlich dem '*διαστολικὸν καὶ ἀνανέωσις*' in den Hermupolitaner Urkunden (Flor. 1; Straßb. 52) entsprechen soll.

[17] (Post alia.) *[Ἐὰν δὲ μὴ] ἀποδῶι ἡ ὁμολογοῦσα Τα̣[π]ιᾶμις [ἐ]ν τῇ ὁρισ*[18]*[θείσῃ προθεσμίᾳ, ἐξεῖναι τῷ Πακύσι . . . . χω]ρ̣ὶς διαστολῆς καὶ ἐ̣πα̣νγε̣λ̣είας τ̣ῶ̣ν̣ τῆς ὑποθήκης* [19]*[. . . . . τ]οῖ[ς] ν̣όμοις τῶν ὑποθηκῶν, καὶ βεβαιώσιν τὴν ὁμολογοῦ*[20]*[σαν Ταπιᾶμιν καὶ τοὺς παρ' αὐτῆς τῷ Πακύσι καὶ τ]ο̣ῖς παρ' αὐτοῦ τὰ κατὰ τὴν ὑποθήκην [τ]αύτην πάσῃ̣ βεβαιώ(σει)* [21]*[καὶ παρέξασθαι αὐτὴν τὴν ὑποθήκην ἀνέπαφον καὶ ἀνενε]χ̣ύραστον καὶ ἀνεπιδάνιστον καὶ καθαρὰν ἀπὸ ἐπιγραφῶν* [22]*[πασῶν καὶ δημοσίων τελεσμάτων πάντων ἀπὸ τῶν ἔμπροσ]θεν χρόνων μ̣έχρι τῆς ἐνεστώσης ἡμέρας ἐπὶ τὸν ἅπαντα* [23]*[χρόνον, καὶ ἀπὸ ἰδιωτικῶν καὶ παντὸς ὀφιλήματος καὶ ἐν]ποιήσεως ἐπὶ τὸν ἅπαντα χρόνον, μενούσης κυρίας* [24]*[. . . . . τῆς πράξεως ἔκ τε τῆ]ς ὁμολογούσης καὶ ἐκ τῶν ὑπαρχόντων [α]ὐτῆ̣ πάντων καθά*[25]*περ ἐκ δίκης.*

18 Erg. vielleicht *χρήσασθαι τ]οῖς νόμοις*? M. Anders Rabel ad h. l.

246. Gesuch an den Strategen um Zustellung eines *διαστολικόν* mit Androhung der Zwangsvollstreckung in eine Mobiliar-*ὑποθήκη*. — 178 n. C. — Oxyrhynchos. (Vgl. S. 142.)

P. Oxy. 3, 485 edd. Grenfell-Hunt.

Lit.: Rabel, Sav. Z. 28, 367; Manigk, ebenda 30, 323.

Daß es sich um eine *ὑποθήκη* handelt, ist nicht ausdrücklich gesagt, darf aber nach den in l. 19 fg. gebrauchten Formeln der Bestellung angenommen werden. Vgl. S. 142, 2*β*.

Der Charakter des Stücks ist in der Überschrift genugsam gekennzeichnet; zu beachten ist, daß das *διαστολικόν* für den Fall der Nichtzahlung sofortige *ἐμβαδεία* in die *ὑποθήκη* androht, während, wo ein *ὑπάλλαγμα* in Frage steht, die Drohung auf *ἐνεχυρασία* lautet (BGU 888, 23 [**239**]), vgl. BGU 1038, 9 (**240**); Flor. 56, 11 (**241**).

---

1) Wiewohl dem Hg. zuzugeben ist, daß diese Wendung sonst nicht bezeugt wird.

Der schlecht erhaltene Satz l. 35—41 muß eine amtliche Bemerkung aus dem Bureau des Strategen enthalten, welcher die Zustellung verfügte. Darauf folgen die Bestätigungen über deren Vollzug.

Zu *τοὺς παρ' ἐμοῦ μεταλημψομένους*, l. 20/1, welches außer den Erben jedenfalls auch die Zessionare des Gläubigers umfaßt, vgl. S. 115 II.

Auf der linken Seite des Papyrus neben ll. 10—15 steht ein Nachtrag: *μετὰ κυ(ρίου) Εὐδαίμο(νος) χρ[η(ματίζοντος)] μητ(ρὸς) Ἱερῆς ἀπ' Ὀξυρύ(γχων) πόλ(εως)*. Dies bezieht sich auf den *κύριος* der Schuldnerin, den der Verfasser im Kontext zu nennen vergessen hatte.

[1] Θέωνι στρα(τηγῷ) [2] παρὰ Σερ̣ήνου ἀπελευθέρου Ἀπολλωνιανοῦ Σαραπίω[3]νος ἀπ' Ὀξυρύγχων πόλεως. Οὗ ἐπόρισα πα⟨ρὰ⟩ τοῦ καταλο̣γί̣ο̣(υ) [4] χρημ(ατισμοῦ) ἐστιν ἀντίγρ(αφον).

Ἀντωνῖνος ὁ καὶ Πούδης ὁ ἱερεὺς [5] καὶ ἀρχιδ(ικαστὴς) Ὀξυρυγχείτου στρ(ατηγῷ) χ(αίρειν). Τοῦ δεδομένου ὑπομνήμ(ατος) [6] ἀντίγρ(αφον) μεταδοθήτω ὡς ὑπ(όκειται). Ἔρρωσο. (Ἔτους) ιθ Αὐρηλίων Ἀντωνί(νου) [7] καὶ Κομμόδου τῶν κυρίων Σεβαστῶν Φαῶφι ζ. Σαραπ(ίων) [8] [. .] . ( ) . . ( ) [σ]ε̣σ̣(ημειώμαι).

Ἡφαιστίων ὁ κ(αὶ) Σαραπ(ίων) ἔγρα(ψα). Ἀντωνίνῳ τῷ καὶ [9] Πούδεντι ἱερεῖ ἀρχιδικαστῇ καὶ πρὸς τῇ ἐπιμελείᾳ [10] τῶν χρ[η]ματιστῶν καὶ τῶν ἄλλων κριτηρίων παρὰ [11] Σερ̣[ήνου ἀπελ]ευθέρου Ἀπολλων⟨ιαν⟩οῦ Σαραπίωνος ἀπ' [Ὀ]ξυρύγ[12]χω[ν πόλε]ως. Ἐδάνεισα κατὰ δημόσιον χρηματισμὸν [13] γεγραμ⟨μ⟩ένον διὰ τοῦ ἐν τῇ αὐτῇ Ὀξυρύγχων πόλει μνημονείου τῷ διελθόντι ιη (ἔτει) μηνὶ Σεβαστῷ ια Σαραπιά[15]δι Π̣όδωνος τοῦ Ὥρου μητρὸς Θαήσιος ἀπὸ Ψώβθεως [16] τῆς μητροπόλεως τῆς μικρᾶ[ς] Ὀάσεως ἀργυρίου δ[ρα][17]χμὰς ἐνακοσίας κεφαλαίου τόκου δραχμιαίου ἑκάστης [18] μνᾶς κατὰ μῆνα τοῦ δὲ κεφαλαίου λ μηνὸς Καισαρείου [19] τοῦ αὐτοῦ [δ]ιελθόντος ιη (ἔτους), δηλωθέντος ἐὰν μὴ ἀπο[20]δῷ ἐν τῇ προθεσμίᾳ μένειν περὶ ἐμὲ καὶ τοὺς παρ' ἐ[21]μοῦ μεταλημψομένους ἀντί τε τοῦ κεφαλαίου καὶ ὧν [22] [ἐὰ]ν μὴ ἀπ[ο]δοῖ τόκων τὴν κράτησιν καὶ κυρείαν [23] τῆς ὑπαρχούσης αὐτῇ δούλης Σαραπιάδος [τ]ό̣τε̣ οὔσης [24] ὡς (ἐτῶν) κε ἐφ' οἷς ἄλλοις τὸ δάνειον περιέχει καὶ αἱ ἐν αὐ[25]τῷ ἐνγεγραμμέναι περί τε δρασμοῦ καὶ θανάτου τῆς [26] δούλης ἐπὶ τῇ ἐμῇ ἀσφαλείᾳ διαστολαὶ περιέχουσι. [27] Τῆς δὲ προθεσμίας διελθούσης καὶ τῆς ἀποδόσεώς [28] μοι μὴ γενομένης ἀξιῶ συντάξαι γράψαι τῷ τοῦ Ὀξυρυγ[29]χείτου στρ(ατηγῷ) ἐπιδοῦ(ναι) τούτου ἀντίγρ(αφον) τῇ Σ[αρα]πιάδι ἐὰν περιῇ, εἰ δὲ μή, κληρονόμοις [30] [α]ὐ̣[τῆ]ς τελεί[ο]ι̣ς̣, ἐ̣ὰν δὲ κα[ὶ] ἀφήλικ[ες] ὦσι, νομίμοις αὐ[31]τῶν ἐπιτρόποις ὧν τὰ ὀνόματα ἐπὶ τῶν [τό]πων δηλω[32]θήσεται, ἵν' εἰδῶσι καὶ ποιήσωνταί μοι τὴν ἀπόδοσιν [33] ἢ εἰδῶσι χρησόμε[νόν με] τοῖς ἁρμόζουσι περ[ὶ ἐ]μβαδεί[34]ας νομίμοις ὡς κ[αθή]κει. (Ἔτους) ιθ Αὐρη[λί]ων

25 *περί τε δρασμοῦ* sq.: hier war im Schuldschein jedenfalls gesagt, daß bei Entweichen oder Tod der verpfändeten Sklavin der Gläubiger sich an den Schuldner halten darf. Vgl. Flor. 1, 9 (243); Straßb. 52, 10 u. a. (oben S. 145).

Ἀν[τ]ωνίνου [35] *καὶ Κομμόδου τῶ[ν κυρίω]ν Σεβαστῶν Φα[ῶφι .] [.] σ̣[τρ]α̣(τηγοῦ)* [36] *σ̣[υ]ν̣τάξαντος . . [. . . . .] μετάδοσι̣ν̣ ἐ̣γ̣ε̣σ̣ . [. . . . τῇ* [36] *Σα]ραπιάδι ὡς κα[θήκει. (Ἔτους) ιθ Αὐτοκρατόρων* [38] *Καισάρων Μάρκο(υ) Α[ὐρηλίου Ἀντωνίνου καὶ Λουκίου* [39] *Αὐρηλ(ί)ο(υ) Κομ[μόδου] Σεβ[αστῶν* [40] *Ἀρμενιακῶν Μηδικῶν Παρθικῶν [Γερμανικῶν Σαρματικῶν]* [41] *[Μεγί]σ̣τ̣ω̣ν̣ Ἁθὺρ ιθ.*

(2^te H.) *Σαραπιὰς Πόδωνος* [42] *[ἔ]σχον τούτου το[ῦ ὑπομνήμ(ατος) ἀντίγρ(αφον). (Ἔτους) ιθ]* [43] *Ἀντωνίνου καὶ Κ[ομμόδου τῶν κυρίων]* [44] *Αὐτοκρ[α]τόρων μη[νὸς Ἁθὺρ . . . . Μου]*[45] *σ̣α̣ῖος ὁ καὶ Πανσειρίω̣[ν τοῦ . . . . ἐπιγέ]*[46] *γ[ρ]αμμαι αὐτῆς κύριος ανε̣ . [. . . . .]* [47] *[ὑ]π̣ὸ̣ τ̣[οῦ] στρατηγοῦ καὶ ἔγραψα ὑ[πὲρ αὐτῆς]* [48] *[μ]ὴ εἰδυείης γράμμ[ατα].*

[49] (3^te H.) *Σ̣υρίων̣ ὑπ(ηρέτης) μ[ετέδωκα τὸ ὑπό]*[50] *μ̣ν̣η̣(μα) Σαραπιάδι ὡ̣ς̣ [πρόκειται. (Ἔτους) ιθ]* [51] *μ[η]νὸς Ἁ[θὺρ . .*

35 Erg. im Sinn von [*Τοῦ*] *στρατηγοῦ συντάξαντος . . . . ἡ μετάδοσις γενέσθω* oder *τὴν μετάδοσιν γενέσθαι, μετ(αδοθήτω) . . . .*

44 fg. Vgl. zu dem Passus Wenger, Stellvertretung 132.

247. Gesuch an den *ἀρχιδικαστής* um Zustellung eines *διαστολικόν* mit Androhung der *ἐμβαδεία* in eine *ὑποθήκη*. — Ende des 1. Jahrh. n. C. — Hermupolis magna.

P. Flor. 86 ed. Breccia, Rendic. dei Lincei, ser. V vol. 13, 123 sq. (Ed. princ.), sodann Vitelli in der Ausgabe. Original von mir revidiert.

Lit.: Gradenwitz, Sav. Z. 27, 336; Mitteis, ebenda p. 347; Rabel, ebenda 28, 358; Manigk, ebenda 30, 311.

Über die hypothekenrechtliche Bedeutung des Papyrus s. oben S. 144. Ein verstorbener Eudaimon hatte der Didyme hintereinander fünf Darlehen gegeben (vier auf Hypothek, eines ohne solche); die bez. Ansprüche werden jetzt von seinem Vater und Erben gegen die Didyme geltend gemacht.[1]) Dabei ist besonders merkwürdig, daß die drei ersten dieser Darlehen (l. 2—12) auf Wunsch des Eudaimon (l. 3 nach meiner Herstellung *κ[αθ' ἅ]ς [διέ]ταξεν ὁ αὐτ[ὸς] Εὐδαί[μων γεν]έσθ[α]ι κατὰ πίστιν εἰς Σαραπι[άδα] . . . συγγραφάς*) waren geschrieben worden '*κατὰ πίστιν*' einer gewissen Sarapias. Dies wird von Gradenwitz m. E. richtig so aufgefaßt, daß die Sarapias an Eudaimons Stelle zur Hypothekengläubigerin bestellt worden war, womit es vollkommen übereinstimmt, daß ihr etwas später auch die Hypothek grundbücherlich zugeschrieben wurde, wie Flor. 92 (**223**) zeigt. Über diesen Sachverhalt hatte Sarapias dem Eudaimon auch eine besondere Anerkennungsurkunde ausgestellt (l. 10—12), wozu sich ein Parallelfall in Oxy. 508 findet.

---

1) Da der Eingang fehlt, wissen wir nicht, in welchem Stadium wir stehen. Entweder liegt die Eingabe an den *ἀρχιδικαστής* im Original vor oder das Zustellungsgesuch an den Strategen, wo sie nur als Beilage mitgeteilt wird.

Es fragt sich, welchen Zweck dieser Vorgang hatte. Man wird kaum annehmen dürfen, daß die Sarapias gleichzeitig Bürgin der Didyme war und etwa die Hypotheken zur Sicherung ihres Regresses erhielt (so Manigk a. O.): denn wie l. 2 fg. deutlich zeigt, war auch die Forderung auf sie geschrieben worden. Eher ließe sich denken, daß sie für die Didyme expromittiert hatte; da hatte es einen guten Sinn, daß ihr sofort die Forderung und Hypothek gegen die Didyme zugeschrieben worden war. Nun bleibt noch die Schwierigkeit: wie kommt es, daß jetzt Eudaimon resp. sein Erbe legitimiert ist, gegen die Didyme vorzugehen? Ich möchte annehmen, daß dies kraft der in l. 10—12 erwähnten Anerkennungsurkunde geschieht, welche die Sarapias dem Eudaimon ausgestellt hatte; diese kann eine Zession des Gläubigerrechts an den — materiell ohnedies wohlberechtigten — Eudaimon in sich geschlossen haben. Vielleicht hatten sich Sarapias und Eudaimon dahin arrangiert, daß dieser die Ausklagung der Hauptschuldnerin übernahm. Damit würde es wohl übereinstimmen, daß die Anerkennungsurkunde nicht gleichzeitig mit den Darlehen, sondern erst später ausgestellt ist.

Noch fragt sich: Was bedeutet in Flor. 92 das '*μεταπ(αρατιθέναι)*' der verpfändeten Grundstücke von der Didyme auf die Sarapias, welches das Grundbuchsamt (der Katöken) dort vornimmt? Man hat darunter bisher stets Eigentumsübertragung verstanden. Dabei bliebe es aber rätselhaft, daß in unserem Papyrus (d. h. Flor. 86) die Didyme als die zur Hypothekenklage passiv legitimierte erscheint. Läßt sich nicht etwa annehmen, daß *μεταπ(αρατιθέναι)* heißt: In Hypothek überschreiben? Wir wissen ja bereits (oben S. 150 A. 3), daß die Hypothek auch auf dem Grundbuchsblatt des Gläubigers erscheint; *ἔχει ἐν ὑποθήκῃ τὴν τοῦ δεῖνος οἰκίαν* heißt es in Oxy. 274. Sollte nicht diese Zuschreibung zu bloß hypothekarischem Recht es sein, die in Flor. 92 gemeint ist? Damit wäre die Schwierigkeit gelöst. Natürlich dürfte dann in Flor. 92 nur so gelesen werden, wie es oben (S. *244*) geschehen ist, nicht (mit Eger) *ὑπαρχούσας*. S. Anm. zu **223** l. 7.

[1] [. . .] *Εὐδαίμονος [πρεσβυτ]έρου [ἀ]μφ[οτέρ]ων ἀπὸ Ἑρμοῦ π̣ό̣λ̣[ε]ως τῆς ὑπὲρ Μέμ̣φ̣ι̣ν. Ὀφειλομ[ένων τ]ῷ μετ̣ηλλαχό̣[τ]ι̣ ἀ̣τέ*[2]*[κνῳ] καὶ ἀδιαθέτω [υἱῷ μου] Εὐδ[αί]μονι [ο]ὗ εἶμι κληρονόμος ὑπὸ Διδύμης Ἀμμω̣ν̣ίου ἀ̣π̣ὸ̣ [τῆς αὐ]τῆς πόλεως κ[αθ' ἅ]ς* [3]*[διέ]ταξεν ὁ αὐτ̣[ὸς] Ε̣ὐ̣δαί[μων γεν]έσθ[α]ι κατὰ πίστιν εἰς Σαρα̣π̣ι̣[άδα] Ἑρμ[αί]ο̣υ ἀπὸ τῆς [αὐτ]ῆ̣ς̣ πόλ̣[εως συγγρα]φὰς* [4]*[δαν]είων τρεῖς ἐφ' ὑ̣[ποθ]ήκῃ κ[α]τ̣οι[κικαῖ]ς τῆς Διδύμης ἀρούραις δεκ̣[α]ὲξ [τετ]άρτῳ ἐκ τοῦ Διο̣ν̣[υσ]ί̣ο̣υ̣ κ̣λή[ρου περὶ . . . . .] . . .* [5]*[. .]υ τοῦ Πατεμίτ(ου) [ἄν]ω τὴν μὲν προτ[έρ]αν ἐπὶ τοῦ πρώτου ἔτους Δομιτιανοῦ Καίσαρος τοῦ κυρίου Φαμενὼθ ἀργυρίου δρα*[6]*[χμῶ]ν χειλίων ἑξακ[ο]σί[ω]ν [εἰκοσ]ι̣οκτὼ [εἰς] ἀπόδοσιν Μεχεὶρ τοῦ τρίτου ἔτους Δομιτιανοῦ Καίσαρος τοῦ κυρίου, τὴν δὲ δευ*[7]*[τέρα]ν ἐπὶ τοῦ Φαρμοῦθι μ̣ην[ὸς το]ῦ προκ̣[ει]μένου πρώτου ἔτους [ἄλ]λων ἀργυρίου δραχμῶν χειλίων ἑξακοσίων εἰς ἀπό*[8]*[δοσι]ν Φαμενὼθ τρια̣[κ]άδα τ[ο]ῦ τετ[άρτο]υ ἔτους καὶ τὴν τρίτην ἐπὶ τῆς π[έ]μπτης τῶν ἐπαγομένων τοῦ αὐτοῦ τε-*

τάρ[9]*[του ἔτο]υς ἄλλων δραχμῶν πεντακ[οσίων] τεσσεράκοντα εἰς ἀπόδοσι[ν Φα]ρμοῦθι τοῦ ἑξῆς πέμπτου [ἔτο]υς ἀκολού*[10]*[θως ᾧ ἀ]νήνεγκεν ἡ [Σ]αραπιὰς πρὸς [τὸν] υἱόν μου Εὐδαίμωνα περιόντα δ[η]μοσίῳ χρηματισμῷ διὰ τοῦ αὐτοῦ ἀγορανο*[11]*[μίου] ἐπὶ τοῦ αὐ[το]ῦ πέμπτου ἔτους [μην]ὸς Νέου Σεβαστοῦ ἐξομολογουμένη⟦ν⟧ τὴν πίστην τῶν αὐτῶν τριῶν συγγρα*[12]*[φῶν] δηλώσα[σ]α καὶ τὰ τέλη καὶ τ[ὰς δ]απάνας τῶν ὑπερχρο̣νί̣ω̣ν̣ ὑ̣[π' αὐτ]οῦ δεδόσθαι, ὀφειλομένων δὲ τῷ αὐτῷ υἱῷ* [13]*[μου] Εὐδαίμωνι ὑπὸ [τ]ῆς α̣[ὐτ]ῆ̣ς [ὑ]πό[χρε]ω Διδύμ̣ης κατ' ἄλλην συγγραφ[ὴν δ]ανείου διὰ τοῦ αὐτοῦ ἀγορανομίου ἐπὶ τοῦ* [14]*[αὐτ]οῦ πέμπτου ἔτο[υς μη]νὸς Χοίακ [ἄλ]λων δραχμῶν ἐνακοσίων πεν[τ]ήκοντα εἰς ἀπόδοσιν μῆνα Καισάρειον τοῦ αὐ*[15]*[τοῦ] πέμπτου ἔτους ἐ[πὶ] ταῖς προκειμέναις ἀρούραις καὶ κατὰ διαγραφὴν διὰ τῆς ἐπὶ τῶν τόπων Ὡρίωνος τοῦ Σύρου* [16]*[τρα]πέζης ἐπ' ὀνόμ[ατο]ς τοῦ αὐτοῦ Εὐδαίμονος ἐπὶ τοῦ αὐτοῦ πέμπτου (ἔτους) ἄλλων δραχμῶν τετρακοσίων δεκατριῶν* [17]*[εἰς] ἀπόδοσιν μῆνα Καισάρειον τοῦ αὐτοῦ πέμπτου (ἔτους), προσγραφέντος τῇ διαγραφῇ, μὴ ἐξεῖναι τῇ Διδύμῃ περιλύ*[18]*[ει]ν τὰς ὑποθήκας ἐὰν μὴ καὶ τὰ διὰ τῆ[ς] διαγραφῆς ἀποδοῖ, καὶ μηδεμιᾶς ἀποδόσεως ἀπὸ πάντων τῶν ὀφειλομένων* [19]*[ὡς π]ρόκειται γενηθείσης μέχρι νῦν μήτε τῷ υἱῷ μου περιόντι μηδὲ ἐμοὶ μετὰ θάνατον αὐτοῦ, ἀναγκαίως προῆλθον* [20]*[ἐπὶ] τῆς σῆς ἐξουσίας καὶ ἀξιῶ συντάξαι γράψαι τῷ τοῦ Ἑρμοπολίτου στρατηγῷ μεταδοῦναι τῇ ὑπόχρεῳ Διδύμῃ τοῦδε* [21]*[τοῦ ὑ]πομνήματος ἀντίγραφον ὅπως ἀποδοῖ μοι τά τε προκείμενα κεφάλαια πάντα καὶ τοὺς τῶν ὑπερχρονίων με*[22]*[χρι ν]ῦν τόκους καὶ τὰ τέλη καὶ δαπάνας ὁμοίως σὺν τόκοις ἢ εἰδῇ πρὸς μὲν τὰ διὰ τῶν συγγραφῶν ὀφειλόμενα* [23]*[ἐμ]βαδεύσοντά μοι εἰς τὰς ὑποτεθ[ει]μένας ὡς πρόκειται ἀρούρας καὶ κρατήσοντα αὐτῶν κυρίως καὶ ἀποισόμε*[24]*[νον] τὰ ἐξ αὐτῶν περιεσόμενα πάν[τα] ἔτι δὲ καὶ οἰκονομήσαντα περ[ὶ] αὐτῶν ὡς ἐὰν αἱρῶμαι μηδενὸς αὐτῇ μη*[25]*[δ' ἄλ]λῳ ὑπὲρ αὐτῆς ἐξ ὑστέρου ἀπ[λῶ]ς περὶ τούτων καταλειπομέ[ν]ου λόγου ἀλλὰ καὶ ἐξακολουθεῖν αὐτῇ τὴν* [26]*[βεβα]ίωσιν ἀκολούθω[ς] ταῖς διὰ τῶν [συν]γραφῶν δηλωθείσαις διαστολαῖς, πρὸς δὲ τὰ διὰ τῆς διαγραφῆς ὀφειλόμε*[27]*[να τ]ὴν πρᾶξίν με ποησόμενον ἐξ ὧ[ν] ἐὰν ἄλλων εὑρίσκω τῆς Διδύμης ὑπαρχόντων. Τῶν δὲ ἄλλων τῶν κατ'* [28]*[ἐμα]υτὸν καὶ τὸν προγεγραμμ[ένο]ν μου υἱὸν δικαίων πάντων κατὰ πάντα τρόπον ἀντέχομαι καὶ ἀνθέξο*[29]*[μαι] ἐν' οὐδενὶ ἐλαττούμενος, [πρὸς] δὲ τὴν τοῦ χρηματισμ[οῦ τε]λείωσιν διαπέσταλμαι [*

11 l. *πίστιν*. — *ἐξομ. τ. π.* heißt: anerkennend den (bloß) fiduziarischen Charakter ihres Gläubigerrechts. Daß damit auch eine Zession verbunden gewesen sein wird, ist in der Einl. gesagt.

12 *δηλώσασα* sqq. heißt: gelegentlich der Anerkennung (l. 11) bestätigte sie zugleich, daß Eudaimon die Hypothekensteuer und Kosten des Verzugs (d. h. offenbar der Mahnung usf.) bestritten, sie also dieserhalb keine Forderung an ihn hatte. Man sieht hieraus, daß die Sarapias schon gegen Didyme vorgegangen war.

23 *μοι* l. *με*.

24 *οἰκονομήσοντα* (*-σαντα* ist vulgäres Futurum).

248. Zweimalige Verpfändung einer Sache an denselben Gläubiger mit Personalhaftung des Schuldners. — 143 n. C. — Oxyrhynchos. (S. 155.)

P. Oxy. 3, 506 edd. Grenfell-Hunt. Nachtr. von Crönert, Stud. pal. 4, 94.

Lit.: Rabel, Sav. Z. 28, 366 und Verfügungsbeschr. 60 fg.; 75 A. 1; Lewald, Zum äg. Grundbuchsr. 51; 57; Eger, Grundbuchwesen 56 fg.; 119 A. 2; Manigk, Sav. Z. 30, 322 fg; De Ruggiero, Il divieto d'alien. 17 fg.

Der Papyrus sagt nicht, ob eine Hypothek oder ein *ὑπάλλαγμα* gemeint ist. Die Klausel '*μένειν περὶ τὸν δεδανεικότα . . . τὴν κυρείαν καὶ κράτησιν*' l. 20 fg. entspricht jedoch ähnlichen Wendungen in den Hypothekarverträgen (bedingter Kauf liegt nicht vor, S. 155 A. 2). Übrigens hatte der Gläubiger an demselben Objekt schon eine Hypothek für eine andere Forderung. Mit Rücksicht darauf geschieht es wohl, daß bei der zweiten Hypothezierung noch Personalhaftung dazu bedungen wird (vgl. S. 148 und S. 155).

In l. 37 ist gesagt, die verpfändeten Aruren seien frei: *ἀπὸ πάσης γεωργίας βασιλικῆς καὶ οὐσιακῆς γεωργίας*. Hierzu vgl. Oxy. 577 desc.; 599; Amh. 95, 4; Lips. 6, 6 u. a. Es handelt sich dabei um die Freiheit von der an vielen Grundstücken bestehenden Reallast der Zwangserbpacht einer benachbarten Parzelle Staatsland (vgl. jetzt Rostowzew, Kolonat 200 und Wilcken, Arch. 5, 267); etwas anders (Reallast des Frohndienstes) Preisigke, P. Straßb. p. 178 A. 5.

[1] *Ἀντίγραφ[ο]ν. Ἔτου[ς] ἑβδόμου Αὐτοκράτορος Καίσα[ρ]ος Τίτου Αἰλίου Ἁδριανοῦ Ἀντωνί[νου]* [2] *Σεβαστοῦ Εὐσεβοῦς μηνὸς Ἁδριανοῦ ἐν Ὀξυρύγχων πόλει τῆς Θηβαίδος.* [3] *Ἐδάνεισαν Σαραπίων Ἡρώδου τοῦ Ἐξακῶντο[ς ἀ]π' Ὀξυρύγχων πόλεω[ς]* [4] *μητρὸς Κα[ι]κ[ι]λλίας Πώλλης Θατρῆτι καὶ Τετεωρίῳ ἀμφοτέραις Ἀπολλω-*[5]*νίου τοῦ [. . . .] . ος καὶ τῇ τού⟪του⟫των μητρὶ Δημᾶτι Ἀπολλωνίου τοῦ Πανε-*[6]*χώτου μη[τ]ρὸς Φιλωτέρας, ταῖς τρισὶ ἀπὸ κώμης Πέλα Περσείναις, ἑκάστῃ* [7] *μετὰ κυρί[ο]υ Θατρῆτι μὲν τοῦ ἀνδρὸς Πετεύριος Ἀμμωνᾶτος τοῦ Σαγάθου* [8] *μητρὸς Πανεχώτιδος ἀπ' Ὀξυρύγχων πόλεως, Τετεωρίῳ δὲ τοῦ πρὸς μητρὸς* [9] *θείου Πανεχώτου Ἀπολλωνίου μητρὸς Φιλωτέρας ἀπὸ τῆς προκειμένης* [10] *Πέλα, Δημᾶτι δὲ τοῦ πρὸς πατρὸς αὐτῆς θείου Ἀτρῆτος Πανεχώτου τοῦ Ἀπολ-*[11]*λωνίου ἀπὸ τῆς αὐτῆς Πέλα, ἐν ἀγυιᾷ ἀργυρίου Σεβαστοῦ νομίσματος δραχμὰς* [12] *χιλίας κεφαλαίου αἷς [ο]ὐδὲν προσῆκται τόκου τριωβολείου ἑκάστης μνᾶς* [13] *τοῦ μηνὸς ἑκάστου ἀπὸ τοῦ ἐνεστῶτος μηνὸς Ἁδριανοῦ. Ἀποδότωσαν δ[ὲ]* [14] *αἱ δεδαν[ε]ισμέναι τῷ δεδανε[ι]κότι τὸν μὲν [τ]όκον ἐπὶ [σ]υνκλεισμῷ* [15] *[ἑ]κάστης δωδεκαμήνου, τῆς πί[σ]τεως περὶ τὸ[ν] δεδα[ν]ει[κό]τα οὔσης* [16] *περὶ ὧν ἐ[ὰ]ν μὴ ἐπιφέρωσι αὐτοῦ αἱ δεδανε[ι]σμένα[ι] γ[ρ]άμματα,* [17] *τὸ δὲ κε[φά]λαιον τῇ τριακάδι μηνὸς Καισαρ[ε]ίου τοῦ ἐνάτου ἔτους* [18] *Ἀντωνίνου Καίσαρος τ[οῦ κυ]ρίου ἅμα τοῖς τῶ[ν λοιπ]ῶν μηνῶν ἐγ[νέα]* [19] *τόκοις χωρὶς ὑπερθέσεως. Εἰ δὲ μή, [σ]υν-*

15 *τῆς πίστεως* sq. soll heißen: soweit die Schuldnerinnen nicht schriftliche Quittungen beibringen, soll nur dem Gläubiger geglaubt werden, d. h. der Beweis der Zahlung soll nur durch Quittung möglich sein. Diese Verabredung ist natürlich ungültig.

χωροῦσι ἥ τε Θατρῆς καὶ Τετεώ[20]ρ[ιο]ν μένειν περὶ τὸν δεδανεικότα καὶ τοὺς παρ' αὐτοῦ μεταλημ[21]ψομένους ἀντί τε τοῦ κεφαλαίου καὶ ὧν ἐὰν μὴ ἀπολάβῃ τόκων [22] ἀπὸ τοῦ τῆς ἀποδόσεως χρόνου τὴν κράτησιν καὶ κυρείαν εἰς τ[ὸ]ν [23] αἰεὶ χρόνον τῶν ὑπαρχόντων αὐταῖς ἐξ ἴσου περὶ τὴν αὐτὴν Πέλα [24] ἐκ τοῦ Διοκλέους καὶ Πτολεμαίου Πέρσου ἱππικοῦ κλήρου τρίτου μέ[25]ρους τὸ πρὶν ἀμπελικοῦ κτήματος νυνεὶ δὲ χερσαμπέλ[ου]

(Folgt bis l. 34 die Beschreibung des Grundstückes, stark zerstört.)

[35] [15 Buchst.] *καὶ ἐπάνα[γκον παρέξασ]θαι τῷ δε[δανεικότι ἢ] τοῖς* [36] *[παρ' αὐτοῦ ταῦτα διὰ π]αντὸς βέ[βαια ἀπὸ π]άν[τω]ν πάσῃ βε[βαιώσει κα]ὶ κα*[37]*[θαρὰ ἀπὸ πάσης γε]ωργ[ί]ας βα[σιλικῆς] καὶ [οὐσι]ακῆς γῆς κ[αὶ παντὸς εἴ]δ[ο]υς* [38] [15 Buchst.]*υς ἀπὸ δὲ δ[ημοσί]ων καὶ τελεσμά[των πάντω]ν* [39] *[ἀπὸ τῶν ἐπ]άνω χρόνων μέχρι τοῦ τῆς κυρείας χρόν[ου, ἕως δ' ἂν ἀπ]οδῶ*[40]*[σιν αἱ δεδαν]εισμέναι τῷ δεδανεικότι τὸ κεφ[άλ]αιον καὶ τοὺς τόκους* [41] *[οὐκ ἐξεῖναι τ]ῇ Θατρῆτι καὶ Τετεωρίῳ ταῦτα πωλεῖν οὐδὲ ὑποτίθεσθαι οὐ*[42]*[δ' ἄλλως κατα]χρηματίζειν οὐδὲ ἀπογράφεσθαί τινα ἐπὶ τῶν ἀ[. .]γρῶν,* [43] *[ἐξουσίας οὔσ]ης τῷ δεδανεικότι μετὰ τὸν χρόνον μὴ ἀπολαμβάνοντα* [44] *[ἐμποιεῖσθαι] τούτων ἀντί τε τοῦ κεφαλαίου καὶ ὧν ἐὰν μὴ ἀπολάβῃ τόκων* [45] *[τριωβολείω]ν καὶ τῶν καὶ τοῦ ὑπερπεσόντος χρόνου ἴσων τρ[ι]ωβολείων,* [46] *[τὴν δὲ πρᾶξι]ν ποιεῖσθαι ἔκ τε τῶν δεδανεισμένων ἀλληλενγύων οὐ*[47]*[σῶν εἰς ἔκ]τισιν καὶ ἐξ ἧ[ς] ἐὰν αὐτῶν αἱρῆται καὶ ἐκ τῶν προκειμέ*[48]*[νων ἀπάν]των καὶ ἐκ τῶν ἄλλων ὑπαρχόντων αὐταῖς πάντων κα*[49]*[θάπερ ἐγ δί]κης, ἐξόντος τῷ δεδανεικότι ὁπόταν αἱρῆται κατοχὴν* [50] *[αὐτῶν . . . . .]χισα[σθ]αι πρὸ τοῦ τῶν ἐνκτήσεων βιβλιοφυλακίου πρὸς τὸ αὐ*[51]*[τ . . . .] μ[ὴ ἐλ]αττουμένου τοῦ αὐτοῦ δεδανεικότος ἐν τῇ πράξει* [52] *[ὧν ἄλλων ὀ]φεί[λει] αὐτῷ [ἥ] τε Θατρῆς καὶ Τετεώριον καθ' ἕτερον δά*[53]*[νειον γεγον]ὸς διὰ τοῦ αὐ[το]ῦ μνημονείου τ[ῷ] ἐνεστῶτι μηνὶ Ἁδριανῷ* [54] *[ἐκ συναιρέ(?)]σεως τῆς μη[τρὸ]ς ἐπὶ ὑποθήκῃ ταῖς προκειμέναις σειτικαῖς* [55] *[ἀρούραις δέ]κα τέσσαρσι ἡ[μί]σει ἀργυρίου ταλάντου ἑνὸς καὶ δραχμῶν ἑξακοσίων* [56] *[κεφαλαίο]υ καὶ τόκων, ἀ[λλὰ] εἶναι κύριον ὡς περιέχει. Κυρία ἡ συνγραφή.*

44 [*ἐμποιεῖσθαι*] M.; [*κυριεύειν*] G.-H., jedoch mit der Angabe, daß die Lücke 1—2 Buchst. mehr zuläßt. Auch wird ein Verbum des „Zugreifens" erfordert.
54 l. *σιτικαῖς*.

6. NUTZUNGSPFAND.

249. Bestellung eines Nutzungspfandes für die laufenden Zinsen. — 114/5 n. C. — Faijûm.

BGU 101 ed. Krebs. Nachtr. vom Hg., Wilcken und Gradenwitz in den Nachtr. zu BGU I p. 356 und 395.

Lit.: Mitteis, Hermes 30, 607; Pappulias, Ἡ ἐμπρ. ἀσφάλ. 1, 138; Weiß a. O. 1, 22; Manigk in der Königsberger Festgabe für Güterbock (1910) 285 fg. und „Gläubigerbefriedigung durch Nutzung" 1910, 18 fg.

[1]Φιλήμων Φιλήμονος Κάστορι [2]Παποντῶτος χαίρειν. Ὁμολογῶι ἔ[3]χιν παρὰ σοῦ διὰ χειρὸς ἐξ οἴκου ἀρ[4]γυρίου δραχμὰς διακοσίας τεσ[5]σαράκοντα /ʃσμ καὶ ἀντὶ τῶν [6]τούτων τόκων συνκεχωρηκέ[7]ναι σοι σπείρειν καὶ καρπίζεσθαι [8]καὶ ἀποφέρειν εἰς τὸ ἴδιον τὸ ἥμι[9]συ μέρος ἐξ οὗ ἐὰν αἱρῇ μέρους τῶν [10]ὑπαρχόντων μοι περὶ Κερκεσοῦχ^α [11]ἀρουρῶν δύο, ὧν γείτονες νότου [12]Πτολεμαίου τοῦ Πεθέος, βοῤῥᾶ Μυσ[13]θαρίωνος τοῦ Ἀφροδισίου, λιβὸς Σίν[14]κωνος τοῦ Ἁρποχρατίωνος, ἀπηλι[15]ώτου βασιλικὴ γῆ, μὴ ἐξεῖναι δὲ [16]μοὶ λυτρῶσαι μηδὲ ἐνβαδεύ[17]ειν α . . υ . . . μ . . . . . . τοῦ ὀκτ[ω][18]κ[αι]δεκάτου ἔτους ἢ καὶ ἐφ' ὃν ἐ[19]ὰν̣ . . . τ̣ην ἐπικαρπίας χρόνον, [20]μέχρι οὗ ἀποδῶ μετὰ συνκομι[21]δήν σου, τῶν δὲ δημοσί[ων] καὶ [22]ἔργων τῆς ἀρούρης ὄ[ντω]ν πρὸς [23]σὲ τὸν Κάστορα. Ἥρων εὐδοκῶ [24]τῇδε τῇ καρπίᾳ καθὼς πρόκειται [25]ἀπὸ τοῦ ἰσιόντος ὀκτωκαιδε[26]κάτου ἔτους Τραιανοῦ Καίσαρος [27]τοῦ κυρίου [ ] [28]Ἔτους ἑπτακαιδεκάτ[ου] [29]Αὐτοκράτορος Καίσαρ[ος Νερουᾶ] [30]Τραιανοῦ Σεβαστοῦ Γε[ρμανικοῦ] [31]Δακικοῦ Ἐπὶπ ιδ[ ] [32](2te H.) Κάστωρ Παποντῶτος Ἀμ[. . . . .] [33]ἀπέχω παρὰ σοῦ τὰς προκι[μένας (δραχμὰς) διακοσίας καὶ?] [34]τεσσαράκοντα καὶ τοὺς τού[τ]ων [τόκους?] [35]καὶ τῆς προκιμέ[ν]ης ἀρούρ̣ης
δαπάνας [. . . . .] [36](Ἔτους) ιη Τραιανοῦ τοῦ κυρίου Φαρμ[οῦθι] [37]κη̅.

16/17 ἐμβαδεύειν bedeutet hier die Rücknahme des Besitzes durch den Verpfänder. Im folgenden ist die Angabe des Anfangstermins der Gläubigernutzung zu vermuten, etwa ἀ[πὸ Monat, Tag; Manigk verweist dazu auf BGU 1115, 12.

20 Zu μετὰ sq. Manigk, Gläub.-Bef. 19.
22 Mit den ἔργα sind Robotten auf der γῆ βασιλική gemeint. Vgl. Einl. zu **248**.
24 l. καρπείᾳ.
25 l. εἰσιόντος.
Die Urkunde ist durchstrichen.

250. Bestellung eines Nutzungspfandes (Nutzung für Verzugszinsen). — 128 n. C. — Faijûm.

BGU 339 ed. Krebs. Nachtr. von Viereck in den Nachtr. zu BGU 1 p. 397.

Lit.: Mitteis, Hermes 30, 607; Rabel, Verfüg.-Beschr. 40 A. 1; Weiß a. O. 1, 23; Lewald, Personalexek. 65; Manigk, Gläub.-Befr. 29 fg.

[1]Ἔτους τρισκαιδεκάτου Αὐτοκράτορος Καίσαρος [2]Τραιανοῦ Ἁδριανοῦ Σεβαστοῦ μηνὸς [3]Ν[έ]ου Σεβαστοῦ γ̅ ἐν Κ[αρανίδι τ]ῆς Ἡ[ρα][4]κλείδου μ[ε]ρίδος τοῦ Ἀρσινοε̣ί̣τ̣ο̣[υ νομοῦ.] [5][Ὁ]μολογεῖ Ἁτρῆς Παπεῖτος Πέρσ[ης τῆς ἐ]π̣ι̣γο̣[6]νῆς ὡς ἐτῶν πεν[τ]ήκοντα δύο οὐλ(ὴ) με[7]τ[ώ]πῳι μέσωι Πασίωνι Χαιρήμων[ος] [8]ὡ[ς] ἐτῶν εἴκοσι ἐννέα οὐλ(ὴ) καρπῶι ἀριστ(ερῷ) [9]ἔ̣[χ]ειν παρ' αὐτοῦ παραχρῆμα διὰ χειρὸ[ς] [10]ἐξ οἴκου ἀργυρίου δραχμὰς ἑκατὸν [11]καὶ πυροῦ ἀρτάβας πεντεκ[αίδεκα] [12][. . .]κ[. . . .]υ̣ρ̣[. .] . . [. . .] . ς̣ [. . .] κ̣α̣ὶ̣ . . . . . [13][. . . . . ὧν τὴν] ἀ[π]όδ̣ο̣σιν ποιήσεται ὁ Ἁτρῆ[ς] [14][τῶι Πασ]ί̣ω̣ν̣ι̣ ἐν μηνὶ Παῦνι τοῦ [15]ἐνεστῶτος τρισκαιδεκάτου ἔτους Ἁδριανοῦ [16]Καίσαρος τοῦ κυρίου, ἐὰν [δὲ] μὴ ἀποδῶι, [17][συ]νχωρεῖ Ἁ[τ]ρῆς [γε]ωργ̣ῖ̣ν̣ καὶ καρπίζεσθαι [18][ἀφ'] ὧν γεωργῖ ὁ Ἁτρῆς περὶ Πατσῶντ̣ι̣ν̣ [19][δ]ημοσ̣ί̣ο̣υ ἐδάφους ἀρούρας τρῖς ἐ̣ν̣ τοῖς [20][. .]ωσι ἀντὶ τῶν τόκων [κα]ὶ̣

ἡμιολ̣ίας [21] *καὶ τῶν ὑ̣[πὲ]ρ̣ αὐτῶν δημ̣[οσίων] μέχρι οὗ ἀπο*[22]*δῶι τὸ ἀρ̣γύριον καὶ πυρόν, γινομένη[ς]* [23] *τῶι Πασίωνι τῆς πράξεως ἐκ τοῦ ὁμο-* [24] *λογοῦντος καὶ ἐκ τ̣ῶ̣ν ὑπαρχόντ(ων) αὐτῶι* [25] *πάντ(ων) καθάπερ ἐγ δί-κ(ης).* (Folgt die *ὑπογραφή*.)

21 Hier ist vorausgesetzt, daß den nutzenden Gläubiger die Steuern des Grundstücks von Rechts wegen trifft; s. Mitteis a. O.; D. 2, 14, 42; C. I. 8, 13, 6 und (für die Pacht) D. 26, 7, 32, 6.

251. Bestellung eines Nutzungspfandes (Verzugsnutzung). — 2. Jahrh. v. C. — Tebtynis.

Tebt. 390 edd. Grenfell-Hunt.
Lit.: Die zu **250** angegebene.

. . . .

[1] *[. . . . . ο]ὐ̣λ̣ῆ̣ [χ]ε̣ι̣ρ̣ὶ̣ ἀ̣ρ[ισ]τ̣[ε]ρ̣ᾶ̣, ἔ̣χε̣[ι]ν τ̣[ο]ὺ̣ς̣* [2] *[ὁμολογοῦ]ν̣τ̣[ας] παρὰ τῆς Ἑλένης ⟪παρα της Ελενης⟫* [3] *[παραχ]ρ̣ῆ̣μ̣[α] διὰ χειρὸς χρῆσιν ἀργυρίου κεφαλαίου* [4] *[δραχμὰς] ἑκατὸν εἴκοσι τέσσαρες τόκου δραχμιαίου* [5] *[τῆς μνᾶς κ]ατὰ μῆνα ὧν πάντων τὴν ἀπόδοσιν* [6] *[πο]ι̣ή̣σ̣ο̣[υ-σι]ν̣ οἱ ὁμο[λ]ογοῦντες τῇ Ἑλένῃ ἐν μη*[7]*[νὶ] Ἀ̣θ̣ὺ̣ρ̣ τ̣ο̣[ῦ ἰ]σιόντος ἐνάτου ἔτους ἀνυπερθέτως,* [8] *ἐὰν δὲ [μὴ ἀ]ποδῶσι οἱ ὁμ[ο]λογοῦντες τῇ ὡρισμέ-* [9] *νῃ πρ[ο]θεσμίᾳ ἐξέσται τῇ Ἑλένῃ κατασπείριν* [10] *καὶ καρπίζεσθαι ἀπὸ τ[ο]ῦ αὐτοῦ ἐνάτου ἔτους τὴν* [11] *ἀναγρ[α]φομένην εἰς τοὺς τρῖς περὶ κώμην Τε*[12]*πτῦνι[ν] γῆς βασιλικῆς ἱερευτικῆς ἄρουραν μίαν* [13] *[ἥμισυ] οὖ̣σ̣α̣ν ἀπὸ ἀρουρῶν δύο ἐν τῷ λεγομένῳ* [14] *[. . . .]λ̣ικῳ γύῳ, πρὸς τοὺς ὁμολο-γοῦντας ὄντων* [15] *[τῶν τῆ]ς καρπείας δημ[ο]σίων πάντων, γινομένης* [16] *[τῇ Ἑλένῃ τῆ]ς πράξεως ἔκ τε τῶν ὁμολογούντων* [17] *[καὶ ἐκ τ]ῶν ὑπαρχόντων αὐτοῖς πάντων καθάπερ ἐγ δίκης.*

l. 18—29 folgen die Unterschriften.

[30] (1te H.) *Ἀναγέ[γρ]α(πται) διὰ γρα(φείου) Τεπτύνεως η (ἔτους) Ἁθὺρ ζ.*

11 Zu *ἀναγραφομένην* (vererbpachtet) vgl. Rostowzew, Stud. z. Gesch. des Kolonats 159 fg.

14 Zu *γύῳ* vgl. Anm. zu **145** l. 3.

30 Die Herausgeber vermuten die Regierungszeit des Marc Aurel; also 167 n. C.

KAPITEL VI.

KAUF.

1. GESPALTENER KAUF.

Von den zu diesem Gegenstand gehörigen (einfachen, S. 74 fg. und 175) Protokollen über die obligatorische *ὠνή* (S. 174 fg.) gibt **252** ein Beispiel; andere, auf denen öfter auch das *πτῶμα* erscheint, sind bereits unter **152—5** gegeben worden.

252. Agoranomische *ὠνή* mit Auflassungsurkunde. — 101/0 v. C. — Pathyris. (Vgl. S. 174 fg.)

BGU 998 ed. Schubart.

Lit.: Wilcken, Arch. 2, 388—9; Rabel, Sav. Z. 27, 322—3.

Über die Zustimmungserklärung, die der Sohn des Verkäufers erteilt, s. Kap. IX.

In Col. II ist der Ausdruck *ἀφίστασθαι* (l. 2) bemerkenswert, dazu S. 176.

Col. I.

[1] *[Βα]σιλεύοντος Πτολεμαίου τοῦ καὶ ἐπικαλουμένου Ἀλεξάνδρου θεοῦ Φιλομήτορος ἔτους ιδ* [2] *[ἐφ'] ἱερείων καὶ ἱερειῶν καὶ κανηφόρου τῶν ὄντων καὶ οὐσῶν μηνὸς Χοιὰχ β̄ ἐν Παθύρει* [3] *[ἐφ'] Ἑρμίου τοῦ παρὰ Πανίσκου ἀγορανόμου. Ἀπέδοτο Ψενμεγχῆς Πανεχάτου Πέρσης* [4] *[τῆς] ἐπιγονῆς ὡς (ἐτῶν) νε μέσος μελίχρω(ς) τετανὸς ἀναφάλακρος μακροπρόσω(πος) εὐθύριν οὐλὴ μήλῳ* [5] *[ἀρισ]τερὸν ἐπισ[κάζω]ν τὸν πόδα δεξιὸν συνεπικελεύοντος τῷ τούτου υἱοῦ Ἁρπαήσιος* [6] *[τοῦ] Ψενμεγχῆ[τος Πέ]ρσου ὡς (ἐτῶν) λ μέσος μελίχρω(ς) ὑπόκλαστος μακροπρόσω(πος) εὐθύριν ἄσημος* [7] *[τὴν] ὑπάρχουσα[ν οἰ]κίαν ᾠκοδομημένην καὶ κεκαμαρωμένην καὶ τεθυρωμένην καὶ* [8] *[τῆς] προσούση[ς αὐλῆς] τῆς οὔσης ἐν τῷ ἀπὸ βορρᾶ μέρει Παθύρεως ἧς γείτονες νότου οἰκία Νεχού(του)* [9] *[τοῦ] Πανεχά[του, βορρ]ᾶ οἰκία Κεφάλωνος, ἀπηλιώ(του) ῥύμη, λιβὸς οἰκία Πόρτιτος τοῦ Πετεσούχου* [10] *[ἧς ἀν]ὰ μέσον ῥ[ύ]μη ἢ οἳ ἂν ὦσι γείτονες πάντοθεν. Ἐπρίατο Πετεῆσις Ὀνηοῦς Πέρσης ὡς (ἐτῶν) μ* [11] *[μέσος] μελίχρω(ς) ὑπό-*

Col. I 5 l. *[ἀρι]στερῷ*. — l. *τοῦ* st. *τῷ*. 6 l. *μέσου* usf. — Zur Zustimmungserklärung des Sohnes verweist der Hg. auf Spiegelberg, Straßb. dem. Pap. Nr. 7. 8 l. *[τὴν] προσοῦσα[ν* usf.

κλαστος οὐλὴ μετώπῳ χαλκοῦ τάλαντα τέσσαρες. Προπωλητὴς καὶ [12][βε-βαιω]τὴς τῶν κατὰ τὴν ὠνὴν ταύτην πάντων Ψενμεγχῆς ὁ ἀποδόμενος, ὃν ἐδέξατο [13][Πετεῆ]σις ὁ πριάμενος.

Ἑρμίας ὁ παρὰ Πανίσκου κεχρη(μάτικα).

Col. II.

[1]Ἔτους ιδ Χοιὰχ β̄ ἐν Παθύρει ἐφ' Ἑρμίου τοῦ παρὰ Πανίσκου ἀγορανόμου. [2]Ὁμολογεῖ Ψενμεγχῆς Πανεχάτου Πέρσης τῆς ἐπιγονῆς ἀφίστασθαι ἀπὸ [3]τῆς πεπραμένης οἰκίας ᾠκοδομημένης καὶ τεθυρω(μένης) καὶ τῆς προςούσης [4]αὐλῆς τὴν οὖσαν ἐν τῷ ἀπὸ βοῤῥᾶ μέρει Παθύρεως ἧς γείτονες νότου οἰκία [5]Νεχούτου τοῦ Πανεχάτου, βοῤῥᾶ οἰκία Κεφάλωνος, ἀπηλιώ(του) ῥύμη, λιβὸς οἰκία [6]Πόρτιτος τοῦ Πετεσούχου ἧς ἀνὰ μέσον ῥύμη ἢ οἳ ἂν ὦσι γείτονες, ἣν ἔθετο [7]ὠνὴν Πετεήσι ἐπὶ τοῦ αὐτοῦ ἀρχείου πρὸς χαλκοῦ (τάλαντα) δ καὶ μὴ ἐπελεύ[8]σασθαι μήτ' αὐτὸς Ψενμεγχῆς μήδ' ἄλλον μηδένα τῶν παρ' αὐτοῦ ἐπὶ τὸν [9]Πετεῆσιν μήδ' ἐπ' ἄλλον μηδένα τῶν παρ' αὐτοῦ, εἰ δὲ μὴ ἥ τ' ἔφοδος τῶι ἐπι[10]πορευομένωι ἄκυρος ἔστω καὶ προςαποτεισάτω ὁ ἐπελθὼν ἐπίτι(μον) παραχρῆμα [11]χαλκοῦ τάλαντα ὀκτὼ καὶ ἱερὰ βασιλεῦσι ἀργυρίου ἐπισήμου δραχμὰς ρξ [12]καὶ μηθὲν ἧσσον ἐπάναγκον αὐτῷ ἔστω ποιεῖν κατὰ ⟨τὰ⟩ προγεγραμμένα. [13]Ἡ δὲ ὁμολογία ἥτε κυρία ἔστω πανταχῆ οὗ ἂν ἐπιφέρηται.

Ἑρμίας ὁ παρὰ Πανίσκου κεχρη(μάτικα).

Col. I 11 l. *τέσσαρα.*
Col. II 4 l. *τῆς οὔσης.*
6 l. vielleicht *καθ' ἣν?* M.
7/8 l. *ἐπελεύσεσθαι; αὐτὸν* usf.
13 l. *ἥδε.*

253. Homologie, Auflassung auf Grund vorhergegangener agoranomischer *ὠνή*. — 46/7 n. C. — Faijûm. (Vgl. S. 174 fg.)

BGU 177 ed. Krebs. Nachtr. vom Hg., Gradenwitz und Wilcken in den Nachtr. zu BGU I S. 357 und 395; II S. 354.

Lit.: Wilcken, Deutsche Lit.-Zeitg. 1900 Sp. 2467/8; Arch. 2, 388/9; Erman, Arch. 2, 457; vgl. auch Eger, Grundbuchwesen 104.

Daß ein gespaltener Kauf vorliegt, wird durch l. 3/4 bewiesen: Denn die Worte *διὰ τοῦ ἀγορανομείου* können sich nicht auf die gegenwärtige Urkunde beziehen — solche Hinweise auf das Notariatsamt[1]) finden nämlich im Kontext der Urkunden nur dann statt, wenn es sich um ein früheres Rechtsgeschäft handelt, niemals bezüglich desjenigen, das eben errichtet wird. Vielmehr steht die Nennung der gegenwärtig funktionierenden Urkundsbehörde an der Spitze oder am Schlusse; am (zerstörten) Schluß wird sie auch in unserm Stück gestanden haben. Demnach ist mit *διὰ τοῦ ἀγορ.* die obligatorische *ὠνή* gemeint. Parallelstelle Nr. **268** l. 4/5.

---

1) Nicht zu verwechseln damit ist der Fall, daß die Urkunde auf sich selbst verweist (z. B. *πεπρακέναι κατὰ τήνδε τὴν ὁμολογίαν*); das kommt oft vor (S. 179, 2 A).

Die Worte [*κατὰ τὸν ἐπεσταλμένον*] *ὑπὸ Γαλερίου ... τῷ ἀγορανόμῳ χρηματισμόν* beziehen sich auf das zur Beurkundung erforderlich gewesene *ἐπίσταλμα* der *βιβλιοφύλακες ἐγκτήσεων* (Kap. IV S. 98).

Inhalt: Zwei Brüder, Paapis und Erieus haben im eigenen Namen und, wohl als Vormünder ihres unmündigen Bruders Panephremmis, auch in dessen Namen zwölf Aruren Weinberg verkauft, welche sie (zu je $^1/_3$) besaßen, und vollziehen nunmehr die Auflassung.

